eMatins powered by AGES

# The Service of Matins

for Sunday, November 8, 2020

Octoechos - Mode pl. 1.
on Sunday Morning

Eothinon 11

Menaion - November 8
The Synaxis in Honor of the Chief Commanders Michael and Gabriel

Katavasias of Theotokos - Entry

Texts in Greek and English

## Sources

AC Copyright © 2019 by Anthony Cook

VPA Copyright © 2016 by Virgil Peter Andronache

RB Copyright © 2019 by Richard Barrett

SD Copyright © 2019 by Fr. Seraphim Dedes

GKD Copyright © 2017 by George K. Duvall

GOA © The Greek Orthodox Archdiocese of America

HC Liturgical Texts courtesy and copyright of Holy Cross Press, Brookline, MA

JMB Copyright © 2015 by John Michael Boyer

EL Copyright Archimandrite Ephrem [Lash] ©

KW © Metropolitan Kallistos Ware

NKJV Scripture taken from the New King James Version™. Copyright © 1982 by Thomas Nelson, Inc. Used by permission. All rights reserved.

OCA Copyright © 1996–2015. All rights reserved.

RSV Revised Standard Version of the Bible, copyright © 1946, 1952, and 1971 National Council of the Churches of Christ in the United States of America. Used by permission. All rights reserved.

SAAS Scripture taken from the St. Athanasius Academy Septuagint™. Copyright © 2008 by St. Athanasius Academy of Orthodox Theology. Used by permission. All rights reserved.

vol Orthodox Monastery of the Veil of our Lady

## Disclaimer

The translation, rubrics, Greek and English texts are for the purposes of worship only and is subject to change without notice and should not be construed as a commitment by the authors, translators, developers, and personnel associated with its publication. Efforts are taken to make this booklet complete and accurate, but no warranty of fitness is implied.

All rights reserved. The materials contained within this booklet remain the property of all contributing translators. It is published solely for the purpose of providing a source of worship materials to the parishes of the Orthodox Church and may be copied and otherwise reproduced as needed by the parish toward this end; however, it may not be reprinted, reproduced, transmitted, stored in a retrieval system, or translated into any language in any form by any means — electronic, mechanical, recording, or otherwise — for the purpose of sale without the express written permission.

## AGES DCS Website

https://www.agesinitiatives.com/dcs/public/dcs

**The AGES Digital Chant Stand is supported in part by generous grants from Leadership 100 and the National Forum of Greek Orthodox Church Musicians.**

**This document was produced using the AGES Liturgical Workbench. For more information, contact AGES Initiatives: info@agesinitiatives.org**

**Βιβλία - Πηγαί**

**Ὀκτώηχος - Ἦχος πλ. α΄.**

Τῇ Κυριακῇ Πρωΐ

**Μηναῖον - ΤΗι Η΄ ΝΟΕΜΒΡΙΟΥ**

Ἡ Σύναξις τῶν Ἀρχιστρατήγων Μιχαὴλ καὶ Γαβριήλ

**Books - Sources**

**Octoechos - Mode pl. 1.**

On Sunday Morning

**Menaion - November 8**

The Synaxis in Honor of the Chief Commanders Michael and Gabriel

---

## ΟΡΘΡΟΣ

## MATINS

**ΧΟΡΟΣ**

**CHOIR**

### Ἦχος πλ. α΄.

### Mode pl. 1.

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

God is the Lord, and He revealed Himself to us. Blessed is he who comes in the name of the Lord. [SAAS]

**Στίχ. α΄.** *Ἐξομολογεῖσθε τῷ Κυρίῳ καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.*

*ἤ· Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.*

**Verse 1:** *Give thanks to the Lord and call upon His holy name.*

*or: Give thanks to the Lord, for He is good; for His mercy endures forever.*

**Στίχ. β΄.** *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

**Verse 2:** *All the nations surrounded me, but in the name of the Lord I defended myself against them.*

**Στίχ. γ΄.** *Παρὰ Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.*

**Verse 3:** *And this came about from the Lord, and it is wonderful in our eyes.*

Τῆς Ὀκτωήχου - - -

From Octoechos - - -

### Ἀπολυτίκιον Ἀναστάσιμον.
### Ἦχος πλ. α΄. *Αὐτόμελον.*

### Resurrectional Apolytikion.
### Mode pl. 1. *Automelon.*

Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι, τὸν ἐκ Παρθένου τεχθέντα εἰς σωτηρίαν ἡμῶν, ἀνυμνήσωμεν πιστοὶ καὶ προσκυνήσωμεν, ὅτι ηὐδόκησε σαρκί, ἀνελθεῖν ἐν τῷ Σταυρῷ, καὶ θάνατον ὑπομεῖναι, καὶ ἐγεῖραι τοὺς τεθνεῶτας, ἐν τῇ ἐνδόξῳ Ἀναστάσει αὐτοῦ.

Let us worship the Word who is unoriginate * with the Father and the Spirit, and from a Virgin was born * for our salvation, O believers, and let us sing His praise. * For in His goodness He was pleased * to ascend the Cross in the flesh, and to undergo death, * and to raise up those who had died, * by His glorious Resurrection. [SD]

Δόξα. **Τῶν Ἀσωμάτων.**

Glory. **For the Angels.**

Τοῦ Μηναίου - - -

From Menaion - - -

### Ἦχος δ΄. *Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

### Mode 4. *You who were lifted.*

Τῶν οὐρανίων στρατιῶν Ἀρχιστράτηγοι, δυσωποῦμεν ὑμᾶς ἡμεῖς οἱ ἀνάξιοι, ἵνα

O Chief Commanders of the heavenly armies, * we the unworthy now entreat you in

ταῖς ὑμῶν δεήσεσι, τειχίσητε ἡμᾶς, σκέπη τῶν πτερύγων, τῆς ἀΰλου ὑμῶν δόξης, φρουροῦντες ἡμᾶς προσπίπτοντας, ἐκτενῶς καὶ βοῶντας· Ἐκ τῶν κινδύνων λυτρώσασθε ἡμᾶς, ὡς Ταξιάρχαι τῶν ἄνω Δυνάμεων.

earnest, * to fortify us by your supplications to the Lord, * and shelter us beneath the wings of your spiritual glory, * guarding us who run to you and fervently entreat you: * As the Commanders of the hosts on high, * rescue us faithful from dangers of every kind. [SD]

Καὶ νῦν. **Θεοτοκίον.**

Τῆς Ὀκτωήχου - - -

**Ἦχος δ'.**

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον, διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται· Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος· δι' οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Both now. **Theotokion.**

From Octoechos - - -

**Mode 4.**

O Theotokos, through you became manifest to us on earth the mystery, which was hid from eternity, and which the Angels themselves knew not: that God, uniting natures without confusion, becomes a man and accepts crucifixion for our salvation voluntarily. By virtue of this, resurrecting man whom He had first created, He saved our souls from death. [SD]

**ΙΕΡΕΥΣ**

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

*(Κύριε, ἐλέησον.)*

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

*(Κύριε, ἐλέησον.)*

Τῆς Παναγίας ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*(Σοί, Κύριε.)*

Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*(Ἀμήν.)*

**PRIEST**

Again and again, in peace, let us pray to the Lord.

*(Lord, have mercy.)*

Help us, save us, have mercy on us, and protect us, O God, by Your grace.

*(Lord, have mercy.)*

Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

*(To You, O Lord.)*

For Yours is the dominion, and Yours is the kingdom and the power and the glory, of the Father and of the Son and of the Holy Spirit, now and forever and to the ages of ages.

*(Amen.)*

**ΧΟΡΟΣ**

## Κάθισμα Α′. Ἀναστάσιμον.

Τῆς Ὀκτωήχου - - -

**Ἦχος πλ. α′.** *Τὸν συνάναρχον Λόγον.*

Τὸν Σταυρὸν τοῦ Κυρίου ἐγκωμιάσωμεν, τὴν ταφὴν τὴν ἁγίαν ὕμνοις τιμήσωμεν, καὶ τὴν Ἀνάστασιν αὐτοῦ ὑπερδοξάσωμεν, ὅτι συνήγειρε νεκρούς, ἐκ τῶν μνημάτων ὡς Θεός, σκυλεύσας κράτος θανάτου, καὶ ἰσχὺν διαβόλου, καὶ τοῖς ἐν ᾅδῃ φῶς ἀνέτειλε.

**CHOIR**

## Kathisma I. Resurrectional.

From Octoechos - - -

**Mode pl. 1.** *Let us worship the Word.*

Let us honor the Cross of the Lord with solemn praise, * and His holy entombment extol with sacred hymns, * and His Rising from the dead supremely glorify; * for He despoiled the realm of death and the devil's might, for He is God; * then He resurrected * the dead from the graves together, * and made the light to dawn on those in hell. [SD]

Δόξα. **Τοῦ Ἀρχαγγέλου.**

Τοῦ Μηναίου - - -

**Ἦχος δ′.** *Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τῶν ἀσωμάτων λειτουργῶν Ἀρχιστράτηγε, ὁ κατ' ἐνώπιον Θεοῦ παριστάμενος, καὶ ταῖς ἐκεῖθεν λάμψεσι λαμπόμενος, φαίδρυνον ἁγίασον, τοὺς πιστῶς σε ὑμνοῦντας, πάσης ἀπολύτρωσαι, τοῦ ἐχθροῦ τυραννίδος, καὶ εἰρηναίαν αἴτησαι ζωήν, τοῖς Βασιλεῦσι καὶ πᾶσι τοῖς πέρασιν.

Glory. **For the Archangel.**

From Menaion - - -

**Mode 4.** *You who were lifted.*

O chief Commander of the bodiless ministers * as one who stands before the throne of the Godhead, * and brightly are illumined by its radiance, * brighten us and sanctify those who faithfully hymn you, * and from all the tyranny of the enemy free us. * And earnestly request a peaceful life * for our rulers * and the entire universe. [SD]

Καὶ νῦν. **Θεοτοκίον.**

Τῆς Ὀκτωήχου - - -

**Ἦχος πλ. α′.** *Τὸν συνάναρχον Λόγον.*

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος, χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ, χαῖρε ἀχείμαστε λιμὴν καὶ Ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκὶ τὸν Ποιητὴν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν Τόκον σου.

Both now. **Theotokion.**

From Octoechos - - -

**Mode pl. 1.** *Let us worship the Word.*

O impassable gateway of God the Lord, rejoice. * Wall and shelter of those who in you take refuge, rejoice. * Stormless haven, rejoice, O Maid who knew not man * and yet physically gave birth to your Creator and God. * Never cease interceding * on behalf of those extolling and worshiping the Son you bore. [SD]

Τῆς Ὀκτωήχου - - -

## Κάθισμα Β′. Ἀναστάσιμον.

**Ἦχος πλ. α′.**

Κύριε, μετὰ τὴν τριήμερόν σου Ἀνάστασιν, καὶ τὴν τῶν Ἀποστόλων προσκύνησιν, ὁ Πέτρος ἐβόα σοι· Γυναῖκες

From Octoechos - - -

## Kathisma II. Resurrectional.

**Mode pl. 1.**

After You had risen on the third day, O Lord, and after the Apostles had worshiped You, Peter cried out to You, "Women stood

ἀπετόλμησαν, κἀγὼ ἐδειλίασα. Ληστὴς ἐθεολόγησε, κἀγὼ ἠρνησάμην σε, ἆρα καλέσεις με τοῦ λοιποῦ μαθητήν, ἢ πάλιν δείξεις με ἁλιέα βυθοῦ; ἀλλὰ μετανοοῦντά με δέξαι, ὁ Θεὸς καὶ σῶσόν με.

courageously, but I acted cowardly. The Robber stated Your divinity, but I disavowed You. Will You ever call me Your disciple anymore, or will You again appoint me as a fisher of the deep? I pray You to receive me in repentance, O God, and save me." [SD]

Δόξα. **Τῶν Ἀσωμάτων.**

Τοῦ Μηναίου - - -

**Ἦχος δ'.** *Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τὰ Χερουβὶμ καὶ Σεραφὶμ πολυόμματα, τῶν Ἀρχαγγέλων λειτουργῶν τὰ στρατεύματα, σὺν Ἐξουσίαις Θρόνοι Κυριότητες, Ἄγγελοι Δυνάμεις τε, καὶ Ἀρχαὶ δυσωποῦσι, σὲ τὸν Ποιητὴν ἡμῶν, καὶ Θεὸν καὶ Δεσπότην· Μὴ ὑπερίδῃς δέησιν λαοῦ, ἡμαρτηκότος, Χριστὲ πολυέλεε.

Glory. **For the Angels.**

From Menaion - - -

**Mode 4.** *You who were lifted.*

The Cherubim along with many-eyed Seraphim * and all the armies of the Archangel ministers * as well as Principalities, Authorities and Thrones, * Angels and Dominions and Powers all importune You * earnestly imploring You our Lord God and Maker. * O Christ, do not despise Your people's prayer * though they be sinners, * for You are most merciful. [SD]

Καὶ νῦν. **Θεοτοκίον.**

Τοῦ Μηναίου - - -

Ταχὺ προκατάλαβε, πρὶν δουλωθῆναι ἡμᾶς, ἐχθροῖς βλασφημοῦσί σε, καὶ ἀπειλοῦσιν ἡμῖν, Χριστὲ ὁ Θεὸς ἡμῶν· ἄνελε τῷ Σταυρῷ σου, τοὺς ἡμᾶς πολεμοῦντας· γνώτωσαν πῶς ἰσχύει, Ὀρθοδόξων ἡ πίστις, πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.

Both now. **Theotokion.**

From Menaion - - -

Come quickly, O Lord, and prevent us from being enslaved * to foes who speak blasphemies against You, Christ our God, * and boastingly threaten us. * Annihilate by the power * of Your Cross those who fight us. * Let them know how the faith of the Orthodox has power, * accepting Your Mother's prayers for us in Your love of man. [SD]

**Κάθισμα Γ'. Τῶν Ἀσωμάτων.**

Τοῦ Μηναίου - - -

**Ἦχος πλ. δ'.** *Τὸ προσταχθέν.*

Τῶν οὐρανίων ἀρχηγοὶ καὶ πρωτοστάται, τῶν ὑψιθρόνων καὶ φρικτῶν τῆς θείας δόξης, Μιχαὴλ καὶ Γαβριὴλ Ἀρχιστράτηγοι, σὺν πᾶσι τοῖς ἀσωμάτοις ὦ Λειτουργοί, Δεσπότου ὑπὲρ τοῦ κόσμου διαπαντός, πρεσβεύοντες αἰτήσασθε τὴν

**Kathisma III. For the Angels.**

From Menaion - - -

**Mode pl. 4.** *When he perceived.*

Michael and Gabriel, foremost-ranking leaders * of the celestial and high-throned awesome beings * of divine glory, you are their supreme Commanders. * O Ministers of the Master, with all the hosts * of bodiless powers ceaselessly intercede * on behalf of the universe, entreating earnestly that He *

ἄφεσιν, τῶν ἐπταισμένων ἡμῖν, καὶ ἔλεος καὶ χάριν εὑρεῖν, ἐν ἡμέρᾳ τῆς κρίσεως.

forgive our sins, that we might find * grace and mercy on Judgment Day. [SD]

Δόξα· καὶ νῦν. **Θεοτοκίον.**
**Ἦχος πλ. δ'.** *Τὸ προσταχθέν.*

Θεοχαρίτωτε Ἁγνὴ εὐλογημένη, τὸν διὰ σπλάγχνα οἰκτιρμῶν ἐκ σοῦ τεχθέντα, σὺν ταῖς ἄνω Δυνάμεσι καὶ τοῖς Ἀρχαγγέλοις, καὶ πᾶσι τοῖς ἀσωμάτοις ὑπὲρ ἡμῶν, δυσώπει ἀκαταπαύστως δοῦναι ἡμῖν, πρὸ τοῦ τέλους συγχώρησιν, καὶ ἱλασμὸν ἁμαρτιῶν, καὶ βίου ἐπανόρθωσιν, ὅπως εὕρωμεν ἔλεος.

Glory. Both now. **Theotokion.**
**Mode pl. 4.** *When he perceived.*

With all the bodiless hosts and the Archangels * O pure and blessed Lady full of the divine grace, * with the Powers on high, together without ceasing * implore Him who out of pity came forth from you. * Entreat Him on our behalf that before the end * He might grant us forgiveness and the expiation of sins * as well as the amendment of life, * so that we might find the mercy of God. [SD]

**Εὐλογητάρια Ἀναστάσιμα.**
**Ἦχος πλ. α'.**

*Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.*

Τῶν Ἀγγέλων ὁ δῆμος, κατεπλάγη ὁρῶν σε, ἐν νεκροῖς λογισθέντα, τοῦ θανάτου δὲ Σωτήρ, τὴν ἰσχὺν καθελόντα, καὶ σὺν ἑαυτῷ τὸν Ἀδὰμ ἐγείραντα, καὶ ἐξ Ἅιδου πάντας ἐλευθερώσαντα.

**Resurrectional Evlogetaria.**
**Mode pl. 1.**

*Blessed are You, O Lord, teach me Your statutes.*

When the hosts of the Angels saw how You were accounted among the dead, they all marveled. You, O Savior, are the One who destroyed the might of death; and when You arose You raised Adam with yourself and from Hades liberated everyone. [SD]

*Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.*

Τί τὰ μύρα, συμπαθῶς τοῖς δάκρυσιν, ὦ Μαθήτριαι κιρνᾶτε; ὁ ἀστράπτων ἐν τῷ τάφῳ Ἄγγελος, προσεφθέγγετο ταῖς Μυροφόροις· Ἴδετε ὑμεῖς τὸν τάφον καὶ ἥσθητε· ὁ Σωτὴρ γὰρ ἐξανέστη τοῦ μνήματος.

*Blessed are You, O Lord, teach me Your statutes.*

"Why do you mingle the ointments with your tears full of pity, O women disciples?" Thus the Angel who was shining in the tomb cried to the myrrh-bearing women. "See for yourselves the empty tomb and understand, that the Savior has risen from the sepulcher." [SD]

*Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.*

Λίαν πρωΐ, Μυροφόροι ἔδραμον, πρὸς τὸ μνῆμά σου θρηνολογοῦσαι· ἀλλ'

*Blessed are You, O Lord, teach me Your statutes.*

Very early in the morning, the myrrh-bearing women were hastening to Your tomb

ἐπέστη, πρὸς αὐτὰς ὁ Ἄγγελος, καὶ εἶπε· θρήνου ὁ καιρὸς πέπαυται, μὴ κλαίετε, τὴν Ἀνάστασιν δέ, Ἀποστόλοις εἴπατε.

lamenting. But the Angel appeared to them and uttered, "The time for lamentation has ended; weep no more. Go announce the Resurrection to the Apostles." [SD]

*Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.*

*Blessed are You, O Lord, teach me Your statutes.*

Μυροφόροι γυναῖκες, μετὰ μύρων ἐλθοῦσαι, πρὸς τὸ μνῆμά σου, Σῶτερ ἐνηχοῦντο. Ἀγγέλου τρανῶς, πρὸς αὐτὰς φθεγγομένου· Τί μετὰ νεκρῶν, τὸν ζῶντα λογίζεσθε; ὡς Θεὸς γάρ, ἐξανέστη τοῦ μνήματος.

When the myrrh-bearing women had come with their spices to Your sepulcher, O Savior, they heard the voice of an Angel clearly speaking to them, "Why do you account among the dead the One who lives? For as God, He has risen from the sepulcher." [SD]

Δόξα.

Glory.

Προσκυνοῦμεν Πατέρα, καὶ τὸν τούτου Υἱόν τε, καὶ τὸ Ἅγιον Πνεῦμα, τὴν Ἁγίαν Τριάδα, ἐν μιᾷ τῇ οὐσίᾳ, σὺν τοῖς Σεραφείμ, κράζοντες τό· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ, Κύριε.

We bow down in worship to the Father and His Son and the Holy Spirit, the Holy Trinity, one in essence; and we cry aloud with the Seraphim: Holy, Holy, Holy are You, O Lord. [SD]

Καὶ νῦν.

Both now.

Ζωοδότην τεκοῦσα, ἐλυτρώσω Παρθένε, τὸν Ἀδὰμ ἁμαρτίας, χαρμονὴν δὲ τῇ Εὔᾳ, ἀντὶ λύπης παρέσχες, ῥεύσαντα ζωῆς, ἴθυνε πρὸς ταύτην δέ, ὁ ἐκ σοῦ σαρκωθεὶς Θεὸς καὶ ἄνθρωπος.

Giving birth to the Giver of life, O Virgin, you delivered Adam from sin, and to Eve you have rendered joy in place of sorrow. He who from you became incarnate, God and man, has directed to life him who fell from it. [SD]

Ἀλληλούϊα. Ἀλληλούϊα. Ἀλληλούϊα. Δόξα σοι, ὁ Θεός. (ἐκ γ΄)

Alleluia. Alleluia. Alleluia. Glory to You, O God. (3)

**ΔΙΑΚΟΝΟΣ**

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

*(Κύριε, ἐλέησον.)*

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

*(Κύριε, ἐλέησον.)*

Τῆς Παναγίας ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης

**DEACON**

Again and again, in peace, let us pray to the Lord.

*(Lord, have mercy.)*

Help us, save us, have mercy on us, and protect us, O God, by Your grace.

*(Lord, have mercy.)*

Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos

ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*(Σοί, Κύριε.)*

**ΙΕΡΕΥΣ**

Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα, καὶ δεδόξασταί σου ἡ βασιλεία, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*(Ἀμήν.)*

**ΑΝΑΓΝΩΣΤΗΣ**

Τῆς Ὀκτωήχου - - -

**Ὑπακοή. Ἦχος πλ. α'.**

Ἀγγελικῇ ὁράσει τὸν νοῦν ἐκθαμβούμεναι, καὶ θεϊκῇ Ἐγέρσει τὴν ψυχὴν φωτιζόμεναι, αἱ Μυροφόροι τοῖς Ἀποστόλοις εὐηγγελίζοντο. Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι, τὴν Ἀνάστασιν τοῦ Κυρίου, συνεργοῦντος τοῖς θαύμασι, καὶ παρέχοντος ἡμῖν τὸ μέγα ἔλεος.

**ΧΟΡΟΣ**

**Οἱ Ἀναβαθμοί.**

**Ἀντίφωνον Α'. Ἦχος πλ. α'.**

Ἐν τῷ θλίβεσθαί με Δαυϊτικῶς, ᾄδω σοι Σωτήρ μου. Ῥῦσαί μου τὴν ψυχὴν ἐκ γλώσσης δολίας.

Τοῖς ἐρημικοῖς ζωὴ μακαρία ἐστί, θεϊκῷ ἔρωτι πτερουμένοις.

Δόξα· καὶ νῦν.

Ἁγίῳ Πνεύματι, περικρατεῖται πάντα τὰ ὁρατά τε σὺν τοῖς ἀοράτοις· αὐτοκρατὲς γὰρ ὄν, τῆς Τριάδος ἕν ἐστιν ἀψεύστως.

**Ἀντίφωνον Β'.**

Εἰς τὰ ὄρη ψυχὴ ἀρθῶμεν, δεῦρο ἐκεῖσε· ὅθεν βοήθεια ἥκει.

and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

*(To You, O Lord.)*

**PRIEST**

For blessed is your name, and glorified is your kingdom, of the Father and the Son and the Holy Spirit, now and forever and to the ages of ages.

*(Amen.)*

**READER**

From Octoechos - - -

**Hypakoe. Mode pl. 1.**

Mentally amazed by the angelic apparition, inwardly illumined by the divine resurrection, the ointment-bearing women brought good tidings to the Apostles. "Proclaim the resurrection of the Lord among the Gentiles, as He works with you by means of miracles, granting us His great mercy." [SD]

**CHOIR**

**Anavathmoi.**

**Antiphon I. Mode pl. 1.**

When I am afflicted, I sing to You, like David, O my Savior. Deliver my soul from a crafty tongue. [SD]

Blessed is the life of those who dwell in the desert, winged as they are by divine eros. [SD]

Glory. Both now.

By the Holy Spirit are all things maintained, both seen and unseen; for, being autocratic, He is one of the Trinity, truly. [SD]

**Antiphon II.**

O my soul, let us rise into the mountains; come, let us go there whence help comes. [SD]

Δεξιά σου χεὶρ κἀμέ, Χριστὲ ἱπταμένη, σκαιωρίας πάσης περιφυλαξάτω.

Δόξα· καὶ νῦν.

Ἁγίῳ Πνεύματι, θεολογοῦντες φῶμεν· Σὺ εἶ Θεός, ζωή, ἔρως, φῶς, νοῦς, σὺ χρηστότης, σὺ βασιλεύεις εἰς τοὺς αἰῶνας.

## Ἀντίφωνον Γ'.

Ἐπὶ τοῖς εἰρηκόσι μοι· Εἰς τὰς αὐλὰς προσβῶμεν Κυρίου, χαρᾶς πολλῆς πλησθεὶς εὐχὰς ἀναπέμπω.

Ἐπὶ οἶκον Δαυΐδ, τὰ φοβερὰ τελεσιουργεῖται· πῦρ γὰρ ἐκεῖ φλέγον, ἅπαντα αἰσχρὸν νοῦν.

Δόξα· καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ζωαρχικὴ ἀξία, ἐξ οὗ πᾶν ζῶον ἐμψυχοῦται, ὡς ἐν Πατρί, ἅμα τε καὶ Λόγῳ.

## Προκείμενον.

Ἀνάστηθι, Κύριε ὁ Θεός μου, ὅτι σὺ βασιλεύεις εἰς τοὺς αἰῶνας. (δίς)

**Στίχ.** *Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου.*

Ἀνάστηθι, Κύριε ὁ Θεός μου, ὅτι σὺ βασιλεύεις εἰς τοὺς αἰῶνας.

Τῆς Ὀκτωήχου - - -

**ΑΝΑΓΝΩΣΤΗΣ**

## Κοντάκιον Ἀναστάσιμον.

Πρὸς τὸν Ἅιδην Σωτήρ μου συγκαταβέβηκας, καὶ τὰς πύλας συντρίψας ὡς παντοδύναμος, τοὺς θανόντας ὡς Κτίστης συνεξανέστησας, καὶ θανάτου τὸ κέντρον Χριστὲ συνέτριψας, καὶ Ἀδὰμ τῆς κατάρας ἐῤῥύσω Φιλάνθρωπε· διὸ πάντες σοι κράζομεν· Σῶσον ἡμᾶς Κύριε.

Let Your soaring right hand protect me, O Christ, from treachery on every side. [SD]

Glory. Both now.

To the Holy Spirit we say, theologizing, "You are God, life, eros, light, nous; You are goodness; You reign to the ages." [SD]

## Antiphon III.

Because they said to me, "Let us go to the courts of the Lord," I am filled with great joy, and I send up my petitions. [SD]

On the house of David are the fearsome things to be fully accomplished; for therein will be fire, burning every shameful thought. [SD]

Glory. Both now.

In the Holy Spirit, as in the Father and the Logos, is the principle of life; from Him is every living being endowed with a soul. [SD]

## Prokeimenon.

Arise, O Lord my God, for You reign unto the ages. (2)

**Verse:** *I will give thanks to You, O Lord, with my whole heart.*

Arise, O Lord my God, for You reign unto the ages. [SAAS]

From Octoechos - - -

**READER**

## Resurrectional Kontakion.

You descended to Hades, my Savior, and shattered its gates, as the Almighty. As Creator, You raised the dead with yourself, and smashed the sting of death, O Christ. You freed Adam from the curse, O Lover of humanity. Therefore we all cry out to You, Save us, O Lord. [SD]

### Ὁ Οἶκος.

Ἀκούσασαι αἱ Γυναῖκες τοῦ Ἀγγέλου τὰ ῥήματα, ἀπεβάλοντο τὸν θρῆνον, προσχαρεῖς γενόμεναι, καὶ σύντρομοι τὴν Ἀνάστασιν ἔβλεπον, καὶ ἰδοὺ Χριστὸς προσήγγισεν αὐταῖς, λέγων τό· Χαίρετε, θαρσεῖτε, ἐγὼ τὸν κόσμον νενίκηκα, καὶ τοὺς δεσμίους ἐῤῥυσάμην· σπουδάσατε οὖν πρὸς τοὺς Μαθητάς, ἀπαγγέλλουσαι αὐτοῖς, ὅτι προάγω ὑμᾶς, ἐν τῇ πόλει Γαλιλαίᾳ τοῦ κηρῦξαι. Διὸ πάντες σοι κράζομεν· Σῶσον ἡμᾶς Κύριε.

### Oikos.

The women heard the Angel's words, and put off their lament, becoming joyful. With trembling they looked upon the Resurrection. And behold, Christ came to them, saying, "Rejoice; take courage. I have overcome the world and have freed the prisoners. Go quickly to the Disciples and inform them, that I go before you to preach in the city of Galilee." Therefore we all cry out to You, Save us, O Lord. [GKD]

### Κοντάκιον. Τῶν Ἀσωμάτων.

### Κοντάκιον.

Τοῦ Μηναίου - - -

### Ἦχος β′.

Ἀρχιστράτηγοι Θεοῦ, λειτουργοὶ θείας δόξης, τῶν ἀνθρώπων ὁδηγοί, καὶ ἀρχηγοὶ Ἀσωμάτων, τὸ συμφέρον ἡμῖν αἰτήσασθε, καὶ τὸ μέγα ἔλεος, ὡς τῶν Ἀσωμάτων Ἀρχιστράτηγοι.

### Kontakion. For the Angels.

### Kontakion.

From Menaion - - -

### Mode 2.

As God's Chief Commanders and ministers of His divine glory, guides of humanity and leaders of the Angels, pray for what will benefit us and for great mercy, as Chief Commanders of the Bodiless Hosts. [SD]

### Ὁ Οἶκος.

Ἔφης φιλάνθρωπε ἐν Γραφαῖς σου, πλήθη χαίρειν Ἀγγέλων ἐν οὐρανῷ, ἐπ' ἀνθρώπῳ ἑνὶ μετανοοῦντι, Ἀθάνατε· ὅθεν ἡμεῖς οἱ ἐν ἀνομίαις, ἀναμάρτητε, μόνε καρδιογνῶστα, σὲ δυσωπεῖν καθ' ἑκάστην τολμῶμεν ὡς εὔσπλαγχνον, οἰκτεῖραι καὶ καταπέμψαι ἀναξίοις κατάνυξιν, Δέσποτα, παρέχων ἡμῖν συγχώρησιν· ὑπὲρ πάντων γὰρ ἡμῶν πρεσβεύουσιν, οἱ τῶν Ἀσωμάτων Ἀρχιστράτηγοι.

### Oikos.

You said in the Scriptures, immortal Lover of humanity, that in heaven multitudes of Angels rejoice over one human being who repents. Therefore, O Sinless One, who alone know the heart, we in our lawlessness dare each day to implore You, the compassionate, to take pity on us, Master, and send us compunction, though we are unworthy, and pardon our sins, at the intercession for us all, of the Chief Commanders of the Bodiless Hosts. [SD]

### Συναξάριον.

Τοῦ Μηναίου.

Τῇ Η′ τοῦ αὐτοῦ μηνὸς ἡ Σύναξις τῶν Ἀρχιστρατήγων Μιχαὴλ καὶ Γαβριήλ, καὶ

### Synaxarion.

From the Menaion.

On November 8, we hold the Synaxis in honor of Chief Commanders Michael and

τῶν λοιπῶν ἁγίων ἀσωμάτων καὶ οὐρανίων Ταγμάτων.

Εἰς τὴν Σύναξιν τῶν ἐννέα Ταγμάτων, Σεραφίμ, Χερουβίμ, Θρόνων, Κυριοτήτων, Ἐξουσιῶν, Ἀρχῶν, Δυνάμεων, Ἀρχαγγέλων καὶ Ἀγγέλων.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

**ΧΟΡΟΣ**

**Καταβασίαι τῆς Θεοτόκου (Εἰσόδια)**

**Ὠδὴ α'. Ἦχος δ'.**

Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ Βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὴν Εἴσοδον.

**Ὠδὴ γ'.**

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας πνευματικόν, στερέωσον· κἂν τῇ σεπτῇ Εἰσόδῳ σου, στεφάνων δόξης ἀξίωσον.

**Ὠδὴ δ'.**

Τὴν ἀνεξιχνίαστον θείαν βουλήν, τῆς ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ὑψίστου, ὁ Προφήτης, Ἀββακούμ, κατανοῶν ἐκραύγαζε· Δόξα τῇ δυνάμει σου Κύριε.

**Ὠδὴ ε'.**

Ἐξέστη τὰ σύμπαντα ἐν τῇ σεπτῇ Εἰσόδῳ σου· σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἔνδον εἰσῆλθες ἐν τῷ ναῷ τοῦ Θεοῦ, ὥσπερ καθαρώτατος ναός, πᾶσι τοῖς ὑμνοῦσί σε, τὴν εἰρήνην βραβεύουσα.

Gabriel, and the other holy bodiless and celestial Orders.

Included in the Synaxis are the Nine Orders: Seraphim, Cherubim, Thrones, Dominions, Powers, Authorities, Principalities, Archangels, and Angels.

By their holy intercessions, O God, have mercy on us. Amen.

**CHOIR**

**Katavasias of Theotokos - Entry**

**Ode i. Mode 4.**

I open my mouth and pray the Spirit fill it, like David said, * to pour out a good word to the Queen and Mother of God. * I will celebrate * her feast with joy and gladness * and sing to her merrily, lauding her Entry. [SD]

**Ode iii.**

Establish your servants who extol you, * O Mother of God, for they have formed * a spiritual choir for you * the living and abundant fount; * and graciously in your divine Entry give glorious crowns to them. [SD]

**Ode iv.**

When the Prophet Habakkuk heard the divine * and incomprehensible counsel of Your Incarnation * from the Virgin, O Most High, * considering, he cried aloud: * Glory to Your power, O Lord my God. [SD]

**Ode v.**

Amazed was the universe, * O Maiden, by your most august * Entry. For, O never-wedded Virgin, * you who appeared as a most pure temple yourself * did enter the Temple of God, * now awarding peace to all who extol you with hymns of praise. [SD]

## Ὠδὴ ϛ'.

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάζοντες.

## Ode vi.

O godly-minded believers, come * and celebrate this sacred and venerable feast and thus extol * the Theotokos, and clap our hands, * and glorify our God who was truly born of her. [SD]

## Ὠδὴ ζ'.

Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν Κτίσαντα, ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον. Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

## Ode vii.

Godly-minded three * did not adore created things in the Creator's stead; * rather, disdaining the threat * of fire, they trampled it, and joyfully they sang: * "O supremely praised * and most exalted Lord and God * of the fathers, You are blessed." [SD]

## Ὠδὴ η'.

*Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.*

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἀγείρει ψάλλουσαν. Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

## Ode viii.

*We praise and we bless and we worship the Lord.*

Guiltless were those Servants in the furnace. * The Son of the Theotokos went and rescued them. * He who was prefigured then, * having been incarnate now, * is gathering the whole wide world into His Church to sing: * "O all you works of the Lord, to all ages * sing praises to the Lord and exalt Him beyond measure." [SD]

**ΔΙΑΚΟΝΟΣ**

Τοῦ Κυρίου δεηθῶμεν.

*(Κύριε, ἐλέησον.)*

**DEACON**

Let us pray to the Lord.

*(Lord, have mercy.)*

**ΙΕΡΕΥΣ**

Ὅτι Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ ἐν Ἁγίοις ἐπαναπαύῃ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**PRIEST**

For you are holy, our God, who rest among the Saints, and to you we give glory, to the Father and the Son and the Holy Spirit, now and forever and to the ages of ages.

**ΧΟΡΟΣ**

Ἀμήν.

**CHOIR**

Amen.

### Ἦχος β΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. (δίς) Αἰνεσάτω πνοή πᾶσα τὸν Κύριον.

### Mode 2.

Let everything that breathes praise the Lord. (2) Let everything that breathes praise the Lord. [SAAS]

**ΔΙΑΚΟΝΟΣ**

Καὶ ὑπέρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

*(Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.)*

**DEACON**

Let us pray to the Lord our God that we may be made worthy to hear the holy Gospel.

*(Lord, have mercy. Lord, have mercy. Lord, have mercy.)*

**ΔΙΑΚΟΝΟΣ**

Σοφία. Ὀρθοί. Ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

**DEACON**

Wisdom. Arise. Let us hear the Holy Gospel.

**ΙΕΡΕΥΣ**

Εἰρήνη πᾶσι.

*(Καὶ τῷ πνεύματί σου.)*

**PRIEST**

Peace be with all.

*(And with your spirit.)*

**ΙΕΡΕΥΣ**

Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

**PRIEST**

The reading is from the Holy Gospel according to John.

**ΔΙΑΚΟΝΟΣ**

Πρόσχωμεν.

*(Δόξα σοι, Κύριε, δόξα σοι.)*

**DEACON**

Let us be attentive.

*(Glory to You, O Lord, glory to You.)*

**ΙΕΡΕΥΣ** *(ἀπὸ τῆς ἁγίας τραπέζης)*

Ἑωθινὸν ΙΑ΄
Ἰωάννην ΚΑ΄ 15-25

Τῷ καιρῷ ἐκείνῳ, ἐφανέρωσεν ἑαυτὸν ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ, ἐγερθεὶς ἐκ νεκρῶν, καὶ λέγει τῷ Σίμωνι Πέτρῳ· Σίμων Ἰωνᾶ, ἀγαπᾶς με πλέον τούτων; Λέγει αὐτῷ· Ναὶ Κύριε, σὺ οἶδας ὅτι φιλῶ σε. Λέγει αὐτῷ· Βόσκε τὰ ἀρνία μου. Λέγει αὐτῷ πάλιν δεύτερον· Σίμων Ἰωνᾶ ἀγαπᾶς με; Λέγει αὐτῷ· Ναί, Κύριε, σὺ οἶδας ὅτι φιλῶ σε. Λέγει αὐτῷ· Ποίμαινε τὰ πρόβατά μου. Λέγει αὐτῷ τὸ τρίτον· Σίμων Ἰωνᾶ, φιλεῖς με; ἐλυπήθη ὁ Πέτρος, ὅτι εἶπεν αὐτῷ τὸ τρίτον, φιλεῖς με; Καὶ εἶπεν αὐτῷ·

**PRIEST** *(from the altar table)*

Eothinon 11
John. 21:14-25

At that time, Jesus revealed himself to the disciples after he was raised from the dead. And he said to Simon Peter, "Simon, son of John, do you love me more than these?" He said to him, "Yes, Lord; you know that I love you." He said to him, "Feed my lambs." A second time he said to him, "Simon, son of John, do you love me?" He said to him, "Yes, Lord; you know that I love you." He said to him, "Tend my sheep." He said to him the third time, "Simon, son of John, do you love me?" Peter was grieved because he said to

Κύριε, σὺ πάντα οἶδας, σὺ γινώσκεις ὅτι φιλῶ σε. Λέγει αὐτῷ ὁ Ἰησοῦς. Βόσκε τὰ πρόβατά μου. Ἀμὴν ἀμὴν λέγω σοι, ὅτε ἦς νεώτερος, ἐζώννυες σεαυτόν, καὶ περιεπάτεις ὅπου ἤθελες, ὅταν δὲ γηράσῃς, ἐκτενεῖς τὰς χεῖράς σου, καὶ ἄλλος σε ζώσει, καὶ οἴσει ὅπου οὐ θέλεις. Τοῦτο δὲ εἶπε, σημαίνων ποίῳ θανάτῳ δοξάσει τὸν Θεόν. Καὶ τοῦτο εἰπών, λέγει αὐτῷ· Ἀκολούθει μοι. Ἐπιστραφεὶς δὲ ὁ Πέτρος βλέπει τὸν μαθητὴν ὃν ἠγάπα ὁ Ἰησοῦς, ἀκολουθοῦντα, ὃς καὶ ἀνέπεσεν ἐν τῷ δείπνῳ ἐπὶ τὸ στῆθος αὐτοῦ καὶ εἶπε· Κύριε, τίς ἐστιν ὁ παραδιδούς σε; τοῦτον ἰδὼν ὁ Πέτρος λέγει τῷ Ἰησοῦ· Κύριε, οὗτος δὲ τί; λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ; σύ μοι ἀκολούθει μοι. Ἐξῆλθεν οὖν ὁ λόγος οὗτος εἰς τοὺς ἀδελφούς. Ὅτι ὁ μαθητὴς ἐκεῖνος οὐκ ἀποθνήσκει, καὶ οὐκ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, ὅτι οὐκ ἀποθνήσκει· ἀλλ' ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σὲ; Οὗτός ἐστιν ὁ μαθητὴς ὁ μαρτυρῶν περὶ τούτων, καὶ γράψας ταῦτα, καὶ οἴδαμεν ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ. Ἔστι δὲ καὶ ἄλλα πολλὰ ὅσα ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν γράφηται καθ' ἕν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία. Ἀμήν.

*(Δόξα σοι, Κύριε, δόξα σοι.)*

him the third time, "Do you love me?" And he said to him, "Lord, you know everything; you know that I love you." Jesus said to him, "Feed my sheep. Truly, truly, I say to you, when you were young, you girded yourself and walked where you would; but when you are old, you will stretch out your hands, and another will gird you and carry you where you do not wish to go." (This he said to show by what death he was to glorify God.) And after this he said to him, "Follow me." Peter turned and saw following them the disciple whom Jesus loved, who had lain close to his breast at the supper and had said, "Lord, who is it that is going to betray you?" When Peter saw him, he said to Jesus, "Lord, what about this man?" Jesus said to him, "If it is my will that he remain until I come, what is that to you? Follow me!" The saying spread abroad among the brethren that this disciple was not to die; yet Jesus did not say to him that he was not to die, but, "If it is my will that he remain until I come, what is that to you?" This is the disciple who is bearing witness to these things, and who has written these things; and we know that his testimony is true. But there are also many other things which Jesus did; were every one of them to be written, I suppose that the world itself could not contain the books that would be written. Amen. [RSV]

*(Glory to You, O Lord, glory to You.)*

**ΑΝΑΓΝΩΣΤΗΣ**

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν Ἅγιον Κύριον Ἰησοῦν, τὸν μόνον ἀναμάρτητον. Τὸν Σταυρόν σου, Χριστέ, προσκυνοῦμεν καὶ τὴν ἁγίαν

**READER**

Having beheld the Resurrection of Christ, let us worship the holy Lord Jesus, the only sinless one. Your Cross, O Christ, we venerate, and Your holy Resurrection we

σου ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοί, προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν ἀνάστασιν· ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ. Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν ἀνάστασιν αὐτοῦ· Σταυρὸν γὰρ ὑπομείνας δι' ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν.

praise and glorify. For You are our God; apart from You we know no other; we call upon Your name. Come, all faithful, let us venerate the holy Resurrection of Christ; for behold, through the Cross, joy has come to the whole world. Ever blessing the Lord, let us praise His Resurrection; for having endured the Cross for us, He destroyed death by death.

[GOA]

**ΧΟΡΟΣ**

**Ψαλμὸς Ν′ (50).**

**Ἦχος β′.** *(ἢ τῆς ἑβδομάδος.)*

[Ἐλεήμων,] Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

**CHOIR**

**Psalm 50 (51).**

**Mode 2.** *(or the Mode of the week)*

[Merciful,] Have mercy on me, O God, according to Your great mercy; and according to the abundance of Your compassion, blot out my transgression.

Wash me thoroughly from my lawlessness and cleanse me from my sin.

For I know my lawlessness, and my sin is always before me.

Against You only have I sinned and done evil in Your sight; that You may be justified in Your words, and overcome when You are judged.

For behold, I was conceived in transgressions, and in sins my mother bore me.

Behold, You love truth; You showed me the unknown and secret things of Your wisdom.

You shall sprinkle me with hyssop, and I will be cleansed; You shall wash me, and I will be made whiter than snow.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

You shall make me hear joy and gladness; my bones that were humbled shall greatly rejoice.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Turn Your face from my sins, and blot out all my transgressions.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Create in me a clean heart, O God, and renew a right spirit within me.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Do not cast me away from Your presence, and do not take Your Holy Spirit from me.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Restore to me the joy of Your salvation, and uphold me with Your guiding Spirit.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

I will teach transgressors Your ways, and the ungodly shall turn back to You.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεὸς ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Deliver me from bloodguiltiness, O God, the God of my salvation, and my tongue shall greatly rejoice in Your righteousness.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

O Lord, You shall open my lips, and my mouth will declare Your praise.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

For if You desired sacrifice, I would give it; You will not be pleased with whole burnt offerings.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

A sacrifice to God is a broken spirit, a broken and humbled heart God will not despise.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ.

Do good, O Lord, in Your good pleasure to Zion, and let the walls of Jerusalem be built.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Then You will be pleased with a sacrifice of righteousness, with offerings and whole burnt offerings.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους. Καὶ ἐλέησόν με, ὁ Θεός.

Δόξα.

Ταῖς τῶν Ἀποστόλων πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

**Στίχ.** *Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.*

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου, καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωήν, καὶ μέγα ἔλεος.

**ΔΙΑΚΟΝΟΣ**

Σῶσον ὁ Θεὸς τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου· ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας Χριστιανῶν Ὀρθοδόξων καὶ κατάπεμψον ἐφ' ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια· πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, ὧν καὶ τὴν σύναξιν ἑορτάζομεν· ἱκεσίαις τοῦ τιμίου ἐνδόξου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν μεγάλων Ἱεραρχῶν καὶ οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου, Κυρίλλου καὶ Ἰωάννου τοῦ Ἐλεήμονος Πατριαρχῶν Ἀλεξανδρίας· Νικολάου τοῦ ἐν Μύροις,

Then shall they offer young bulls on Your altar. And have mercy on me, O God. [SAAS]

Glory.

At the intercession of the Apostles, O Lord of mercy, blot out my many offences. [SD]

Both now.

At the intercession of the Theotokos, O Lord of mercy, blot out my many offences. [SD]

**Verse:** *Have mercy on me, O God, according to Your great mercy; and according to the abundance of Your compassion, blot out my transgression.*

Jesus, having risen from the grave as He foretold, has granted us eternal life and great mercy. [SD]

**DEACON**

O God, save your people and bless your inheritance. Look upon your world with mercy and compassion. Raise the Orthodox Christians in glory, and send down upon us your rich mercies, through the intercessions of our most pure Lady the Theotokos and ever-Virgin Mary, the power of the precious and life giving Cross, the protection of the honorable, bodiless Powers of heaven, whose Synaxis we celebrate; the supplications of the honorable and glorious prophet, and forerunner John the Baptist, the holy, glorious, and praiseworthy Apostles, our Fathers among the Saints, the great hierarchs and ecumenical teachers, Basil the Great, Gregory the Theologian and John Chrysostom, Athanasios, Cyril, and John the Merciful, patriarchs of Alexandria; Nicholas, bishop of Myra, Spyridon, bishop of Trimythous, Nektarios of Pentapolis, the wonder-workers; the holy, glorious great Martyrs George

Σπυρίδωνος Τριμυθοῦντος καὶ Νεκταρίου Πενταπόλεως τῶν θαυματουργῶν· τῶν ἁγίων ἐνδόξων Μεγαλομαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλήτου, Θεοδώρου τοῦ Τήρωνος, Θεοδώρου τοῦ Στρατηλάτου, Μηνᾶ τοῦ θαυματουργοῦ· τῶν Ἱερομαρτύρων Χαραλάμπους καὶ Ἐλευθερίου, τῆς ἁγίας ἐνδόξου Μεγαλομάρτυρος καὶ πανευφήμου Εὐφημίας· τῶν ἁγίων ἐνδόξων Μαρτύρων Θέκλας, Βαρβάρας, Ἀναστασίας, Αἰκατερίνης, Κυριακῆς, Φωτεινῆς, Μαρίνης, Παρασκευῆς καὶ Εἰρήνης· τῶν ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν· (τοῦ Ἁγίου τοῦ Ναοῦ)· τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων σου τῶν Ἁγίων. Ἱκετεύομέν σε, μόνε πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέησον ἡμᾶς.

the Victorious, Demetrios the Myrobletes, Theodore the Teron, and Theodore the General, Menas the Wonderworker, the Hieromartyrs Haralambos and Eleftherios; the holy, glorious, and victorious martyrs; the glorious great Martyr and all-laudable Euphemia; the holy and glorious Martyrs Thecla, Barbara, Anastasia, Katherine, Kyriake, Fotene, Marina, Paraskeve and Irene; of our holy God-bearing Fathers; (local patron saint); the holy and righteous ancestors of God Joachim and Anna, and of all your Saints. We beseech you, only merciful Lord, hear us sinners who pray to you and have mercy on us.

**ΧΟΡΟΣ**

Κύριε, ἐλέησον. (ιβʹ)

**CHOIR**

Lord, have mercy. (12)

**ΙΕΡΕΥΣ**

Ἐλέει καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἰ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*(Ἀμήν.)*

**PRIEST**

Through the mercy, compassion, and love of mankind of your only-begotten Son, with whom you are blessed, together with your all-holy, good and life-giving Spirit, now and forever and to the ages of ages.

*(Amen.)*

**ΔΙΑΚΟΝΟΣ**

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς ἐν ὕμνοις τιμῶντες μεγαλύνωμεν.

**DEACON**

Let us honor and magnify in song the Theotokos and the Mother of the light.

**ΧΟΡΟΣ**

**Ὠδὴ θʹ.**

**Μεγαλυνάριον. Ἦχος δʹ.**

**Στίχ.** *Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ,

**CHOIR**

**Ode ix.**

**Megalynarion. Mode 4.**

**Verse:** *My soul magnifies the Lord, and my spirit has rejoiced in God my Savior.* [NKJV]

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth

τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

**Στίχ.** *Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γάρ, ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

**Στίχ.** *Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καί το ἔλεος αὐτοῦ εἰς γενεάν, καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

**Στίχ.** *Ἐποίησε Κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

**Στίχ.** *Καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

to God the Word, and are truly Theotokos. You do we magnify. [SD]

**Verse:** *For He has regarded the lowly state of His maidservant; for behold, henceforth all generations will call me blessed.* [NKJV]

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify. [SD]

**Verse:** *For He who is mighty has done great things for me, and holy is His name. And His mercy is on those who fear Him from generation to generation.* [NKJV]

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify. [SD]

**Verse:** *He has shown strength with His arm; He has scattered the proud in the imagination of their hearts.* [NKJV]

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify. [SD]

**Verse:** *He has put down the mighty from their thrones, and exalted the lowly. He has filled the hungry with good things, and the rich He has sent away empty.* [NKJV]

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify. [SD]

**Στίχ.** *Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς Πατέρας ἡμῶν, τῷ Ἀβραάμ, καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

**Verse:** *He has helped His servant Israel, in remembrance of His mercy, as He spoke to our fathers, to Abraham and to his seed forever.* [NKJV]

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify. [SD]

**Ὠδὴ θʹ. Καταβασία. Ἦχος δʹ.**

Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι λαμπαδουχούμενος, πανηγυριζέτω δέ, ἀΰλων Νόων φύσις γεραίρουσα, τὰ ἱερὰ Εἰσόδια τῆς Θεομήτορος, καὶ βοάτω· Χαίροις παμμακάριστε, Θεοτόκε Ἁγνὴ ἀειπάρθενε.

**Ode ix. Katavasia. Mode 4.**

All you born on earth, * with festival lamps in hand, in spirit leap for joy; * and all you the heavenly angelic orders, join in and celebrate; * and honoring the sacred Entry of the Mother of God, * sing the joyful salutation, "O rejoice, * Theotokos, all-blest, ever-virgin pure!" [SD]

**ΔΙΑΚΟΝΟΣ**

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

*(Κύριε, ἐλέησον.)*

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

*(Κύριε, ἐλέησον.)*

Τῆς Παναγίας ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*(Σοί, Κύριε.)*

**DEACON**

Again and again, in peace, let us pray to the Lord.

*(Lord, have mercy.)*

Help us, save us, have mercy on us, and protect us, O God, by Your grace.

*(Lord, have mercy.)*

Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

*(To You, O Lord.)*

**ΙΕΡΕΥΣ**

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπουσι, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰωνων.

*(Ἀμήν.)*

**PRIEST**

For all the powers of heaven praise You and give You glory, to the Father and the Son and the Holy Spirit, now and forever and to the ages of ages.

*(Amen.)*

**ΧΟΡΟΣ**

**Ἦχος β΄.**

Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν. (δίς)

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ.

Ὅτι ἅγιός ἐστι.

Τῆς Ὀκτωήχου - - -

**Ἐξαποστειλάριον.**

**Τὸ ΙΑ΄ Ἑωθινόν.**

**Ἦχος β΄.** *Τοῖς Μαθηταῖς συνέλθωμεν.*

Μετὰ τὴν θείαν Ἔγερσιν, τρὶς τῷ Πέτρῳ, φιλεῖς με, πυθόμενος ὁ Κύριος τῶν ἰδίων προβάτων, προβάλλεται ποιμενάρχην, ὃς ἰδὼν ὃν ἠγάπα, ὁ Ἰησοῦς ἑπόμενον, ἤρετο τὸν Δεσπότην. Οὗτος δὲ τί; Ἐὰν θέλω, ἔφησε, μένειν τοῦτον, ἕως καὶ πάλιν ἔρχομαι, τί πρὸς σὲ φίλε Πέτρε;

**Τῶν Ἀσωμάτων.**

**Ἦχος β΄.** *Τοῖς Μαθηταῖς συνέλθωμεν.*

Ἐξουσιῶν Δυνάμεων, Ἀρχαγγέλων Ἀγγέλων, Κυριοτήτων Θρόνων τε, καὶ Ἀρχῶν πρωτοστάτης, ὑπὸ Θεοῦ κατεστάθης, Ἀρχιστράτηγε θεῖε, Μιχαὴλ ὑπερένδοξε· τῷ ἀστέκτῳ οὖν θρόνῳ, παρεστηκώς, σκέπε φρούρει φύλαττε σῷζε πάντας, τοὺς πίστει σε γεραίροντας, τὸν τοῦ κόσμου προστάτην.

**Θεοτοκίον.**

**Ἦχος β΄.** *Τοῖς Μαθηταῖς συνέλθωμεν.*

Τιμιωτέρα πέφυκας, Χερουβὶμ τῶν ἐνδόξων, καὶ Σεραφὶμ Πανύμνητε, τῶν φρικτῶν ἀσυγκρίτως, ἐνδοξοτέρα καὶ

**CHOIR**

**Mode 2.**

Holy is the Lord our God. (2) [SAAS]

Exalt the Lord our God, and worship at the footstool of His feet.

For He is holy.

From Octoechos - - -

**Exaposteilarion.**

**The Eleventh Eothinon.**

**Mode 2.** *On the mountain.*

"Do you love me?" the Lord inquired * three times of Peter after * the divine rising from the dead. * Whereupon He appoints him * to be the chief shepherd of His sheep. * And, seeing the disciple * whom Jesus loved following them, * he asked the Master, "Lord, what about him?" * And He said, "If it is my will that this one * remain until I come again, * what is that to you, friend Peter?" [SD]

**For the Angels.**

**Mode 2.** *On the mountain.*

O Chief Commander, most divine * and all-glorious Michael, * God has appointed you to be * first among all the Angels, * the Principalities, Powers, * Archangels and Dominions, * Cherubim, Thrones, and all the rest. * As you now stand beside the most awesome throne, * shelter, guard, protect, defend, help and save us * who faithfully sing and honor you, * for you protect the whole world. [SD]

**Theotokion.**

**Mode 2.** *On the mountain.*

O Theotokos, praised by all, * you are higher in honor * than the high-honored Cherubim; * you are greater in glory * beyond

πάντων, τῶν Ἁγίων Ἀγγέλων, ἁγιωτέρα Πάναγνε· τὸν γὰρ Κτίστην τῶν ὅλων, σωματικῶς, ἀποῤῥήτως τέτοκας Θεοτόκε, ὃν αἴτησαι τοῖς δούλοις σου, λύτρον δοῦναι πταισμάτων.

compare than the awesome * Seraphim and more holy * than the angelic orders all. * For you gave birth to Him who created all, * in a way transcending all thought and reason. * Pray to Him as your Son and God, * to forgive our offenses. [SD]

## Οἱ Αἶνοι. Ἦχος πλ. α΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτὸν ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτὸν πάντα τὰ ἄστρα καὶ τὸ φῶς.

Αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν. Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου.

Ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.

Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.

Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι.

Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.

Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ γῆς.

Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων· αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.

## Lauds. Mode pl. 1.

Let everything that breathes praise the Lord. Praise the Lord from the heavens, praise Him in the highest. It is fitting to sing a hymn to You, O God. [SAAS]

Praise Him, all you His angels; praise Him, all you His hosts. It is fitting to sing a hymn to You, O God. [SAAS]

Praise Him, sun and moon; praise Him, all you stars and light.

Praise Him, you heavens of heavens, and you waters above the heavens. Let them praise the Lord's name.

For He spoke, and they were made; He commanded, and they were created.

He established them forever and unto ages of ages; He set forth His ordinance, and it shall not pass away.

Praise the Lord from the earth, you dragons and all the deeps.

Fire and hail, snow and ice, stormy wind, which perform His word.

Mountains and all the hills, fruitful trees and all cedars.

Wild animals and all cattle, creeping things and flying birds.

Kings of the earth and all peoples, princes and all judges of the earth.

Young men and maidens, elders with younger, let them praise the Lord's name, for His name alone is exalted.

Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ. καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.

His thanksgiving is in earth and heaven. And He shall exalt the horn of His people.

Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

A hymn for all His saints, for the children of Israel, a people who draw near to Him.

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.

Sing to the Lord a new song, His praise in the assembly of His holy ones.

Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ οἱ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.

Let Israel be glad in Him who made him, and let the children of Zion greatly rejoice in their King.

Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.

Let them praise His name with dance; with tambourine and harp let them sing to Him.

Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.

For the Lord is pleased with His people, and He shall exalt the gentle with salvation.

Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

The holy ones shall boast in glory, and they shall greatly rejoice on their beds.

Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.

The high praise of God shall be in their mouth and a two-edged sword in their hand.

Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς.

To deal retribution to the nations, reproving among the peoples.

Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.

To shackle their kings with chains and their nobles with fetters of iron.

Τῆς Ὀκτωήχου - - -

## Στιχηρὰ Ἀναστάσιμα. Ἦχος πλ. α΄.

From Octoechos - - -

## Resurrectional Stichera. Mode pl. 1.

*Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον· δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.*

*To fulfill among them the written judgment: this glory have all His holy ones.* [SAAS]

Κύριε, ἐσφραγισμένου τοῦ τάφου ὑπὸ τῶν παρανόμων, προῆλθες ἐκ τοῦ μνήματος, καθὼς ἐτέχθης ἐκ τῆς Θεοτόκου, οὐκ ἔγνωσαν πῶς ἐσαρκώθης, οἱ ἀσώματοί σου Ἄγγελοι, οὐκ ᾔσθοντο πότε ἀνέστης, οἱ φυλάσσοντές σε στρατιῶται· ἀμφότερα γὰρ ἐσφράγισται τοῖς ἐρευνῶσι, πεφανέρωται δὲ τὰ θαύματα, τοῖς προσκυνοῦσιν, ἐν πίστει τὸ μυστήριον· ὃ ἀνυμνοῦσιν, ἀπόδος ἡμῖν ἀγαλλίασιν, καὶ τὸ μέγα ἔλεος.

Lord, although the tomb had been sealed by the transgressors of the law, You came forth from the sepulcher, just as You were born from the Theotokos. Your bodiless Angels did not know how You became incarnate; nor did the soldiers who guarded You perceive when You resurrected. For both have been sealed to those who would inquire, but the miracles have been revealed to those who faithfully worship the mystery. As we extol it, restore to us exultant joy and Your great mercy. [SD]

**Ἦχος πλ. α'.**

*Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.*

Κύριε, τοὺς μοχλοὺς τοὺς αἰωνίους συντρίψας, καὶ δεσμὰ διαῤῥήξας, τοῦ μνήματος ἀνέστης, καταλιπὼν σου τὰ ἐντάφια, εἰς μαρτύριον τῆς ἀληθοῦς τριημέρου ταφῆς σου, καὶ προῆγες ἐν τῇ Γαλιλαίᾳ, ὁ ἐν σπηλαίῳ τηρούμενος. Μέγα σου τὸ ἔλεος, ἀκατάληπτε Σωτήρ, ἐλέησον ἡμᾶς.

**Mode pl. 1.**

*Praise God in His saints; praise Him in the firmament of His power.* [SAAS]

Lord, after You smashed the eternal bars and broke the bonds, You rose from the tomb and left the grave clothes behind as evidence that truly You had been buried for three days. And You proceeded to Galilee, You who were in custody in a rock-hewn tomb. Great is Your mercy, incomprehensible Savior! Have mercy on us. [SD]

**Ἦχος πλ. α'.**

*Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.*

Κύριε, αἱ Γυναῖκες ἔδραμον ἐπὶ τὸ μνῆμα, τοῦ ἰδεῖν σε τὸν Χριστόν, τὸν δι' ἡμᾶς παθόντα· καὶ προσελθοῦσαι, εὗρον Ἄγγελον ἐπὶ τὸν λίθον καθήμενον, τῷ φόβῳ κυλισθέντα· καὶ πρὸς αὐτὰς ἐβόησε λέγων· Ἀνέστη ὁ Κύριος, εἴπατε τοῖς μαθηταῖς, ὅτι ἀνέστη ἐκ νεκρῶν, ὁ σῴζων τὰς ψυχὰς ἡμῶν.

**Mode pl. 1.**

*Praise Him for His mighty acts; praise Him according to the abundance of His greatness.* [SAAS]

Lord, the women ran to the sepulcher to see You, the Christ, who had suffered for us. When they came, they found an Angel sitting on the stone that from fear had rolled away. The Angel called out to them, saying, "The Lord has risen. Tell the Disciples that resurrected from the dead is He who saves our souls." [SD]

**Ἦχος πλ. α'.**

*Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.*

Κύριε, ὥσπερ ἐξῆλθες ἐσφραγισμένου τοῦ τάφου, οὕτως εἰσῆλθες καὶ τῶν θυρῶν κεκλεισμένων, πρὸς τοὺς μαθητάς σου, δεικνύων αὐτοῖς τὰ τοῦ σώματος πάθη, ἅπερ κατεδέξω Σωτὴρ μακροθυμήσας, ὡς ἐκ σπέρματος Δαυΐδ, μώλωπας ὑπήνεγκας, ὡς Υἱὸς δὲ τοῦ Θεοῦ, κόσμον ἠλευθέρωσας. Μέγα σου τὸ ἔλεος, ἀκατάληπτε Σωτήρ, ἐλέησον ἡμᾶς.

**Mode pl. 1.**

*Praise Him with the sound of trumpet; praise Him with the harp and lyre.* [SAAS]

Lord, even as You came out of the sepulcher, though it was sealed shut, likewise You entered where Your Disciples were, the doors being also shut. You showed them the injuries sustained by Your body, which with long-suffering You accepted, Savior. As the progeny of David, You endured the wounds; as the Son of God, You freed the world. Great

is Your mercy, incomprehensible Savior! Have mercy on us. [SD]

## Τῶν Ἀσωμάτων.

Τοῦ Μηναίου - - -

**Ἦχος α'.** *Τῶν οὐρανίων ταγμάτων.*

*Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.*

Τῶν οὐρανίων ταγμάτων ὡς προεξάρχοντα, καὶ τῶν ἐν γῇ ἀνθρώπων, ἰσχυρόν σε προστάτην, φύλακα καὶ ῥύστην ὑμνοῦμεν πιστῶς, Μιχαὴλ Ἀρχιστράτηγε, καθικετεύοντες πάσης φθοροποιοῦ, ἀλγηδόνος ἡμᾶς ῥύσασθαι.

*Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.*

Τῶν οὐρανίων ταγμάτων ὡς προεξάρχοντα, καὶ τῶν ἐν γῇ ἀνθρώπων, ἰσχυρόν σε προστάτην, φύλακα καὶ ῥύστην ὑμνοῦμεν πιστῶς, Μιχαὴλ Ἀρχιστράτηγε, καθικετεύοντες πάσης φθοροποιοῦ, ἀλγηδόνος ἡμᾶς ῥύσασθαι.

**Στίχ.** *Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.*

Ὁ ταξιάρχης τῶν ἄνω θείων Δυνάμεων, σήμερον συγκαλεῖται, τῶν βροτῶν τὰς χορείας, μίαν σὺν Ἀγγέλοις φαιδρὰν ἑορτήν, συγκροτῆσαι Συνάξεως, αὐτῶν τῆς θείας καὶ ἅμα ὕμνον Θεῷ, ἀναμέλψαι τὸν τρισάγιον.

**Στίχ.** *Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον. Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα.*

Ὑπὸ τὴν σκέπην τῶν θείων ἡμᾶς πτερύγων σου, προσπεφευγότας πίστει, Μιχαὴλ θεῖε νόε, φύλαττε καὶ σκέπε ἐν

## For the Angels.

From Menaion - - -

**Mode 1.** *For the celestial orders.*

*Praise Him with timbrel and dance; praise Him with strings and flute.* [SAAS]

You are the Chief of angelic heavenly hierarchies, * and the mighty protector of humanity on earth, * guarding and delivering us who sing * hymns extolling you loyally. * To you, O Michael, Commander-in-chief, we pray * to be saved from all destructive pain. [SD]

*Praise Him with resounding cymbals; praise Him with triumphant cymbals; let everything that breathes praise the Lord.* [SAAS]

You are the Chief of angelic heavenly hierarchies, * and the mighty protector of humanity on earth, * guarding and delivering us who sing * hymns extolling you loyally. * To you, O Michael, Commander-in-chief, we pray * to be saved from all destructive pain. [SD]

**Verse:** *He makes His angels spirits and His ministers a flame of fire.* [SAAS]

Today the Chief and Commander of the divine hosts on high * invites the choirs of mortals to convene with the angels * to organize a single radiant feast all together to celebrate * their divine Synaxis, and also to extol * God in song with the Thrice-holy hymn. [SD]

**Verse:** *Bless the Lord, O my soul. O Lord my God, You are magnified exceedingly.* [SAAS]

Beneath the shield of your holy and immaterial wings * guard and protect us always, * holy Archangel Michael. * Be with

βίῳ παντί, καὶ ἐν ὥρᾳ Ἀρχάγγελε, τῇ τοῦ θανάτου σὺ πάρεσο βοηθός, ἡμῖν πᾶσιν εὐμενέστατος.

Δόξα.

Τοῦ Μηναίου - - -

**Ἦχος πλ. α'.**

Ὅπου ἐπισκιάσῃ ἡ χάρις σου Ἀρχάγγελε, ἐκεῖθεν τοῦ διαβόλου διώκεται ἡ δύναμις· οὐ φέρει γὰρ τῷ φωτί σου προσμένειν, ὁ πεσὼν Ἑωσφόρος· Διὸ αἰτοῦμέν σε τὰ πυρφόρα αὐτοῦ βέλη, τὰ καθ' ἡμῶν κινούμενα ἀπόσβεσον, τῇ μεσιτείᾳ σου λυτρούμενος ἡμᾶς, ἐκ τῶν σκανδάλων αὐτοῦ, ἀξιΰμνητε Μιχαὴλ Ἀρχάγγελε.

Τῆς Ὀκτωήχου - - -

Καὶ νῦν. **Θεοτοκίον.**

Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε Παρθένε· διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος, ὁ ᾅδης ᾐχμαλώτισται, ὁ Ἀδὰμ ἀνακέκληται, ἡ κατάρα νενέκρωται, ἡ Εὔα ἠλευθέρωται, ὁ θάνατος τεθανάτωται, καὶ ἡμεις ἐζωοποιήθημεν· διὸ ἀνυμνοῦντες βοῶμεν· Εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας δόξα σοι.

## Ἡ Μεγάλη Δοξολογία

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

us throughout our entire life, * and indeed in the hour of death * be a most kindly assistance, and help us then, * as a spiritual servant of God. [SD]

Glory.

From Menaion - - -

**Mode pl. 1.**

Wherever your grace overshadows, O Archangel, the power of the devil is driven away. For he cannot bear to stand in your light, the fallen Lucifer that he is. We therefore beg you to extinguish the fiery arrows that he shoots against us, and by your mediation to deliver us from the scandals he sets, O praiseworthy Archangel Michael. [SD]

From Octoechos - - -

Both now. **Theotokion.**

You are supremely blessed, O Virgin Theotokos. For through Him who from you became incarnate was Hades taken prisoner, and Adam has been summoned back; the curse has been neutralized, and Eve has been liberated; death has been put to death, and we have been brought to life. Therefore extolling we cry out: O Christ our God, You are blessed, for so was Your good pleasure. Glory to You! [SD]

## Great Doxology

Glory be to You who showed the light. Glory in the highest to God. His peace is on earth, His good pleasure in mankind. [SD]

We praise You, we bless You, we worship You, we glorify You, we give thanks to You for Your great glory.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ· Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Lord King, heavenly God, Father, Ruler over all; Lord, only-begotten Son, Jesus Christ; and You, O Holy Spirit.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Lord God, Lamb of God, Son of the Father, who take away the sin of the world, have mercy on us, You who take away the sins of the world.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Accept our supplication, You who sit at the right hand of the Father, and have mercy on us.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

For You alone are holy, You alone are Lord, Jesus Christ, to the glory of God the Father. Amen.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Every day I will bless You, and Your name will I praise to eternity, and to the ages of ages.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Vouchsafe, O Lord, this day, that we be kept without sin.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Blessed are You, O Lord, the God of our fathers, and praised and glorified is Your name to the ages. Amen.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Let Your mercy be on us, O Lord, as we have set our hope on You.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Blessed are You, O Lord. Teach me Your statutes.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Blessed are You, O Lord. Teach me Your statutes.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Blessed are You, O Lord. Teach me Your statutes.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Lord, You have been our refuge from generation to generation. I said: Lord, have mercy on me. Heal my soul, for I have sinned against You.

Κύριε, πρὸς σὲ κατέφυγον. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἐκ γ′)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

*Μετὰ τὸ τέλος τῆς Δοξολογίας λέγομεν Τροπάριον Ἀναστάσιμον.*

**Ἦχος πλ. δ′.** *(ἢ τῆς ἑβδομάδος.)*

Ἀναστὰς ἐκ τοῦ μνήματος, καὶ τὰ δεσμὰ διαῤῥήξας τοῦ Ἅιδου, ἔλυσας τὸ κατάκριμα, τοῦ θανάτου Κύριε, πάντας ἐκ τῶν παγίδων τοῦ ἐχθροῦ ῥυσάμενος, ἐμφανίσας σεαυτὸν τοῖς, Ἀποστόλοις σου, ἐξαπέστειλας αὐτοὺς ἐπὶ τὸ κήρυγμα, καὶ δι' αὐτῶν τὴν εἰρήνην παρέσχες τῇ οἰκουμένῃ, μόνε πολυέλεε.

*ἢ ὡς συνήθως·*

**Ἦχος δ′.** *(ἢ τῆς ἑβδομάδος.)*

Σήμερον σωτηρία τῷ κόσμῳ γέγονεν. Ἄισωμεν τῷ ἀναστάντι ἐκ τάφου καὶ ἀρχηγῷ τῆς ζωῆς ἡμῶν· καθελὼν γὰρ τῷ θανάτῳ τὸν θάνατον, τὸ νῖκος ἔδωκεν ἡμῖν, καὶ τὸ μέγα ἔλεος.

Lord, I have fled to You. Teach me to do Your will, for You are my God.

For with You is the fountain of life; in Your light we shall see light.

Continue Your mercy to those who know You.

Holy God, Holy Mighty, Holy Immortal, have mercy on us. (3)

Glory to the Father and the Son and the Holy Spirit.

Both now and ever and to the ages of ages. Amen.

Holy Immortal, have mercy on us.

Holy God, Holy Mighty, Holy Immortal, have mercy on us.

*After the Doxology, sing the following Resurrectional Troparion.*

**Mode pl. 4.** *(or the Mode of the week)*

When You rose from the sepulcher and broke the bonds of Hades, You repealed the sentence of death, O Lord, and delivered all from the snares of the enemy. And when You showed yourself to Your Apostles, You sent them out to preach, and through them You granted peace to the whole world, O only very merciful One. [SD]

*Or, according to common practice:*

**Mode 4.** *(or the Mode of the week)*

Today has salvation come to pass in the world. Let us sing to Him who resurrected from the tomb and is the Author of our life. For, destroying death by death, He gave us the victory and the great mercy. [SD]

**Βιβλία - Πηγαί**

**Ἱερατικόν**

Λειτουργία Ἁγίου Χρυσοστόμου

**Ὀκτώηχος - Ἦχος πλ. α'.**

Τῇ Κυριακῇ Πρωΐ

**Μηναῖον - ΤΗι Η' ΝΟΕΜΒΡΙΟΥ**

Ἡ Σύναξις τῶν Ἀρχιστρατήγων Μιχαὴλ καὶ Γαβριήλ

**Books - Sources**

**Hieratikon**

Liturgy of St. John Chrysostom

**Octoechos - Mode pl. 1.**

On Sunday Morning

**Menaion - November 8**

The Synaxis in Honor of the Chief Commanders Michael and Gabriel

---

## ΛΕΙΤΟΥΡΓΙΑ ΑΓΙΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

## LITURGY OF ST. JOHN CHRYSOSTOM

*Unless otherwise indicated, the texts of the prayers and hymns of the Divine Liturgy are from: The Divine Liturgy of St. John Chrysostom (© 2016), used with permission from the Greek Orthodox Archdiocese of America. This text was produced by the Greek Orthodox Archdiocese of America and approved by the Ecumenical Patriarchate.*

**ΙΕΡΕΥΣ**

Εὐλογημένη ἡ Βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*(Ἀμήν.)*

**PRIEST**

Blessed is the Kingdom of the Father and of the Son and of the Holy Spirit, now and forever and to the ages of ages.

*(Amen.)*

### ΜΕΓΑΛΗ ΣΥΝΑΠΤΗ ἢ ΕΙΡΗΝΙΚΑ

### THE LITANY OF PEACE OR GREAT LITANY

**ΔΙΑΚΟΝΟΣ**

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

*(Κύριε, ἐλέησον.)*

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

*(Κύριε, ἐλέησον.)*

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

*(Κύριε, ἐλέησον.)*

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

**DEACON**

In peace, let us pray to the Lord.

*(Lord, have mercy.)*

For the peace from above and for the salvation of our souls, let us pray to the Lord.

*(Lord, have mercy.)*

For the peace of the whole world, for the stability of the holy churches of God, and for the unity of all, let us pray to the Lord.

*(Lord, have mercy.)*

For this holy house and for those who enter it with faith, reverence, and the fear of God, let us pray to the Lord.

*(Κύριε, ἐλέησον.)*

Ὑπὲρ τῶν εὐσεβῶν καὶ Ὀρθοδόξων Χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

*(Κύριε, ἐλέησον.)*

Ὑπὲρ τοῦ (ἀρχιερατικοῦ βαθμοῦ) ἡμῶν (τοῦ δεῖνος), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

*(Κύριε, ἐλέησον.)*

Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν ἔθνους, πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

*(Κύριε, ἐλέησον.)*

Ὑπὲρ τῆς πόλεως ταύτης, πάσης πόλεως, χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

*(Κύριε, ἐλέησον.)*

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

*(Κύριε, ἐλέησον.)*

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

*(Κύριε, ἐλέησον.)*

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, καὶ ἀπὸ τοῦ ἀπειλοῦντος ἡμᾶς λοιμοῦ τοῦ κορονοϊοῦ, τοῦ Κυρίου δεηθῶμεν.

*(Κύριε, ἐλέησον.)*

Ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν τῶν κατὰ τῆς νόσου τοῦ κορονοϊοῦ ἀγωνιζομένων, ἰατρῶν, νοσηλευτῶν καὶ ἐπιστημόνων, τοῦ Κυρίου δεηθῶμεν.

*(Κύριε, ἐλέησον.)*

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

*(Lord, have mercy.)*

For pious and Orthodox Christians, let us pray to the Lord.

*(Lord, have mercy.)*

For (episcopal rank) (name), for the honorable presbyterate, for the diaconate in Christ, and for all the clergy and the people, let us pray to the Lord.

*(Lord, have mercy.)*

For our country, for the president, and for all in public service, let us pray to the Lord.

*(Lord, have mercy.)*

For this city, and for every city and land, and for the faithful who live in them, let us pray to the Lord.

*(Lord, have mercy.)*

For favorable weather, for an abundance of the fruits of the earth, and for peaceful times, let us pray to the Lord.

*(Lord, have mercy.)*

For those who travel by land, sea, and air, for the sick, the suffering, the captives and for their salvation, let us pray to the Lord.

*(Lord, have mercy.)*

For our deliverance from all affliction, wrath, danger and distress, and from the peril of the coronavirus against us, let us pray to the Lord.

*(Lord, have mercy.)*

For our brethren, those who lead the fight against the coronavirus, the doctors, the medical workers and the scientists, let us pray to the Lord.

*(Lord, have mercy.)*

Help us, save us, have mercy on us, and protect us, O God, by Your grace.

*(Κύριε, ἐλέησον.)*

Τῆς Παναγίας ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*(Σοί, Κύριε.)*

*(Lord, have mercy.)*

Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

*(To You, O Lord.)*

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

ΕΥΧΗ ΑΝΤΙΦΩΝΟΥ Α′

Κύριε ὁ Θεὸς ἡμῶν, οὗ τὸ κράτος ἀνείκαστον καὶ ἡ δόξα ἀκατάληπτος, οὗ τὸ ἔλεος ἀμέτρητον καὶ ἡ φιλανθρωπία ἄφατος. Αὐτὸς Δέσποτα, κατὰ τὴν εὐσπλαχνίαν σου, ἐπίβλεψον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὸν ἅγιον οἶκον τοῦτον καὶ ποίησον μεθ' ἡμῶν, καί τῶν συνευχομένων ἡμῖν, πλούσια τὰ ἐλέη σου καί τοὺς οἰκτιρμούς σου.

**PRIEST** *(in a low voice)*

THE PRAYER OF THE FIRST ANTIPHON

Lord, our God, Whose dominion is incomparable and glory incomprehensible; Whose mercy is immeasurable, and love for mankind ineffable: Look upon us and upon this holy house in Your loving-kindness, and grant to us and to those who pray with us Your abundant mercy and compassion.

**ΙΕΡΕΥΣ**

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*(Ἀμήν.)*

**PRIEST**

For to You belong all glory, honor, and worship, to the Father and to the Son and to the Holy Spirit, now and forever and to the ages of ages.

*(Amen.)*

**ΧΟΡΟΣ**

**Ἀντίφωνον Α′. Ἦχος β′.**

**Στίχ. α′.** *Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.*

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

**Στίχ. β′.** *Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.*

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

**CHOIR**

**Antiphon I. Mode 2.**

**Verse 1:** *Bless the Lord, O my soul, and everything within me, bless His holy name.* [SAAS]

Through the intercessions of the Theotokos, Savior, save us. [GOA]

**Verse 2:** *Bless the Lord, O my soul, and forget not all His rewards.* [SAAS]

Through the intercessions of the Theotokos, Savior, save us.

**Στίχ. γ΄.** *Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ Βασιλεία αὐτοῦ πάντων δεσπόζει.*

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

*Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.*

*Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

## ΜΙΚΡΑ ΣΥΝΑΠΤΗ

**ΔΙΑΚΟΝΟΣ**

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

*(Κύριε, ἐλέησον.)*

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

*(Κύριε, ἐλέησον.)*

Τῆς Παναγίας ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*(Σοί, Κύριε.)*

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

ΕΥΧΗ ΑΝΤΙΦΩΝΟΥ Β΄

Κύριε, ὁ Θεὸς ἡμῶν, σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύλαξον, ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου. Σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ.

**ΙΕΡΕΥΣ**

Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα,

**Verse 3:** *The Lord prepared His throne in heaven, and His Kingdom rules over all.* [SAAS]

Through the intercessions of the Theotokos, Savior, save us.

*Glory to the Father and the Son and the Holy Spirit.*

*Both now and ever and to the ages of ages. Amen.*

Through the intercessions of the Theotokos, Savior, save us.

## THE SMALL LITANY

**DEACON**

Again and again, in peace, let us pray to the Lord.

*(Lord, have mercy.)*

Help us, save us, have mercy on us, and protect us, O God, by Your grace.

*(Lord, have mercy.)*

Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

*(To You, O Lord.)*

**PRIEST** *(in a low voice)*

THE PRAYER OF THE SECOND ANTIPHON

Lord, our God, save Your people and bless Your inheritance. Protect the fullness of Your Church. Sanctify those who love the beauty of Your house. Glorify them in return by Your divine power, and forsake us not who have set our hope in You.

**PRIEST**

For Yours is the dominion, and Yours is the kingdom and the power and the glory,

τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*(Ἀμήν.)*

**ΧΟΡΟΣ**

**Ἀντίφωνον Β′. Ἦχος β′.**

**Στίχ. α′.** *Αἴνει, ἡ ψυχή μου, τὸν Κύριον· αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου· ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.*

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι, Ἀλληλούϊα.

**Στίχ. β′.** *Μακάριος οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.*

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι, Ἀλληλούϊα.

**Στίχ. γ′.** *Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.*

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι, Ἀλληλούϊα.

*Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.*

*Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

Ὁ Μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς Ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

of the Father and of the Son and of the Holy Spirit, now and forever and to the ages of ages.

*(Amen.)*

**CHOIR**

**Antiphon II. Mode 2.**

**Verse 1:** *Praise the Lord, O my soul! I shall praise the Lord while I live; I shall sing to my God as long as I exist.* [SAAS]

Save us, O Son of God, risen from the dead. We sing to You, Alleluia. [GOA]

**Verse 2:** *Blessed is he whose help is the God of Jacob; his hope is in the Lord his God.* [SAAS]

Save us, O Son of God, risen from the dead. We sing to You, Alleluia.

**Verse 3:** *The Lord shall reign forever; your God, O Zion, to all generations.* [SAAS]

Save us, O Son of God, risen from the dead. We sing to You, Alleluia.

*Glory to the Father and the Son and the Holy Spirit.*

*Both now and ever and to the ages of ages. Amen.*

Only begotten Son and Logos of God, being immortal, You condescended for our salvation to take flesh from the holy Theotokos and ever-virgin Mary and, without change, became man. Christ, our God, You were crucified and conquered death by death. Being one of the Holy Trinity, glorified with the Father and the Holy Spirit: Save us. [GOA]

## ΜΙΚΡΑ ΣΥΝΑΠΤΗ

**ΔΙΑΚΟΝΟΣ**

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

*(Κύριε, ἐλέησον.)*

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

*(Κύριε, ἐλέησον.)*

Τῆς Παναγίας ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*(Σοί, Κύριε.)*

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

ΕΥΧΗ ΑΝΤΙΦΩΝΟΥ Γʹ

Ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους ἡμῖν χαρισάμενος προσευχάς, ὁ καὶ δυσὶ καὶ τρισὶ συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου τὰς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος. Αὐτός καὶ νῦν τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον, χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον χαριζόμενος.

**ΙΕΡΕΥΣ**

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*(Ἀμήν.)*

## THE SMALL LITANY

**DEACON**

Again and again, in peace, let us pray to the Lord.

*(Lord, have mercy.)*

Help us, save us, have mercy on us, and protect us, O God, by Your grace.

*(Lord, have mercy.)*

Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

*(To You, O Lord.)*

**PRIEST** *(in a low voice)*

THE PRAYER OF THE THIRD ANTIPHON

Lord, You have granted us to offer these common prayers in unison and have promised that when two or three agree in Your name, You will grant their requests. Fulfill now, O Lord, the petitions of Your servants as may be of benefit to them, granting us in the present age the knowledge of Your truth, and in the age to come eternal life.

**PRIEST**

For You, O God, are good and love mankind, and to You we offer glory, to the Father and to the Son and to the Holy Spirit, now and forever, and to the ages of ages.

*(Amen.)*

**ΧΟΡΟΣ**

**Ἀντίφωνον Γʹ.**

**Ἦχος πλ. αʹ.**

**Στίχ. αʹ.** *Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.*

**Ἀπολυτίκιον Ἀναστάσιμον.**

**Ἦχος πλ. αʹ.** *Αὐτόμελον.*

Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι, τὸν ἐκ Παρθένου τεχθέντα εἰς σωτηρίαν ἡμῶν, ἀνυμνήσωμεν πιστοὶ καὶ προσκυνήσωμεν, ὅτι ηὐδόκησε σαρκί, ἀνελθεῖν ἐν τῷ Σταυρῷ, καὶ θάνατον ὑπομεῖναι, καὶ ἐγεῖραι τοὺς τεθνεῶτας, ἐν τῇ ἐνδόξῳ Ἀναστάσει αὐτοῦ.

**Στίχ. βʹ.** *Αἰνεσάτωσαν αὐτὸν οἱ οὐρανοὶ καὶ ἡ γῆ.*

Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι, τὸν ἐκ Παρθένου τεχθέντα εἰς σωτηρίαν ἡμῶν, ἀνυμνήσωμεν πιστοὶ καὶ προσκυνήσωμεν, ὅτι ηὐδόκησε σαρκί, ἀνελθεῖν ἐν τῷ Σταυρῷ, καὶ θάνατον ὑπομεῖναι, καὶ ἐγεῖραι τοὺς τεθνεῶτας, ἐν τῇ ἐνδόξῳ Ἀναστάσει αὐτοῦ.

## ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

ΕΥΧΗ ΤΗΣ ΕΙΣΟΔΟΥ ΤΟΥ ΑΓΙΟΥ ΕΥΑΓΓΕΛΙΟΥ

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα καὶ στρατιὰς Ἀγγέλων καὶ Ἀρχαγγέλων, εἰς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν εἴσοδον ἁγίων Ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν, καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**CHOIR**

**Antiphon III.**

**Mode pl. 1.**

**Verse 1:** *This is the day the Lord made; let us greatly rejoice and be glad therein.* [SAAS]

**Resurrectional Apolytikion.**

**Mode pl. 1.** *Automelon.*

Let us worship the Word who is unoriginate * with the Father and the Spirit, and from a Virgin was born * for our salvation, O believers, and let us sing His praise. * For in His goodness He was pleased * to ascend the Cross in the flesh, and to undergo death, * and to raise up those who had died, * by His glorious Resurrection. [SD]

**Verse 2:** *Let heaven and earth praise Him.* [SAAS]

Let us worship the Word who is unoriginate * with the Father and the Spirit, and from a Virgin was born * for our salvation, O believers, and let us sing His praise. * For in His goodness He was pleased * to ascend the Cross in the flesh, and to undergo death, * and to raise up those who had died, * by His glorious Resurrection. [SD]

## THE SMALL ENTRANCE

**PRIEST** *(in a low voice)*

THE ENTRANCE PRAYER

Master, Lord our God, Who has established the orders and hosts of angels and archangels in heaven to minister to Your glory, grant that holy angels may enter with us, that together we may celebrate and glorify Your goodness. For to You belong all glory, honor, and worship, to the Father and to the Son and to the Holy Spirit, now and forever and to the ages of ages.

**ΔΙΑΚΟΝΟΣ** *(χαμηλοφώνως)*

Εὐλόγησον Δέσποτα, τὴν ἁγίαν εἴσοδον.

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

Εὐλογημένη ἡ εἴσοδος τῶν Ἁγίων σου, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**ΔΙΑΚΟΝΟΣ**

Σοφία. Ὀρθοί.

**ΧΟΡΟΣ**

**Εἰσοδικόν. Ἦχος β'.**

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν,

ψάλλοντάς σοι, Ἀλληλούϊα.

**Ὕμνοι μετὰ τὴν Μικρὰν Εἴσοδον**

**ΧΟΡΟΣ**

Τῆς Ὀκτωήχου - - -

**Ἀπολυτίκιον Ἀναστάσιμον.**

**Ἦχος πλ. α'.** *Αὐτόμελον.*

Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι, τὸν ἐκ Παρθένου τεχθέντα εἰς σωτηρίαν ἡμῶν, ἀνυμνήσωμεν πιστοὶ καὶ προσκυνήσωμεν, ὅτι ηὐδόκησε σαρκί, ἀνελθεῖν ἐν τῷ Σταυρῷ, καὶ θάνατον ὑπομεῖναι, καὶ ἐγεῖραι τοὺς τεθνεῶτας, ἐν τῇ ἐνδόξῳ Ἀναστάσει αὐτοῦ.

**Τῶν Ἀσωμάτων.**

Τοῦ Μηναίου - - -

**Ἦχος δ'.** *Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τῶν οὐρανίων στρατιῶν Ἀρχιστράτηγοι, δυσωποῦμεν ὑμᾶς ἡμεῖς οἱ ἀνάξιοι, ἵνα ταῖς ὑμῶν δεήσεσι, τειχίσητε ἡμᾶς, σκέπῃ τῶν πτερύγων, τῆς ἀΰλου ὑμῶν δόξης, φρουροῦντες ἡμᾶς προσπίπτοντας, ἐκτενῶς καὶ βοῶντας· Ἐκ τῶν κινδύνων λυτρώσασθε ἡμᾶς, ὡς Ταξιάρχαι τῶν ἄνω Δυνάμεων.

**DEACON** *(in a low voice)*

Master, bless the holy entrance.

**PRIEST** *(in a low voice)*

Blessed be the entrance of Your holy ones always, now and forever and to the ages of ages. Amen.

**DEACON**

Wisdom. Arise.

**CHOIR**

**Entrance Hymn. Mode 2.**

Come, let us worship and bow down before Christ. Save us, O Son of God, risen from the dead. [GOA]

We sing to You, Alleluia.

**Hymns After the Small Entrance.**

**CHOIR**

From Octoechos - - -

**Resurrectional Apolytikion.**

**Mode pl. 1.** *Automelon.*

Let us worship the Word who is unoriginate * with the Father and the Spirit, and from a Virgin was born * for our salvation, O believers, and let us sing His praise. * For in His goodness He was pleased * to ascend the Cross in the flesh, and to undergo death, * and to raise up those who had died, * by His glorious Resurrection. [SD]

**For the Angels.**

From Menaion - - -

**Mode 4.** *You who were lifted.*

O Chief Commanders of the heavenly armies, * we the unworthy now entreat you in earnest, * to fortify us by your supplications to the Lord, * and shelter us beneath the wings of your spiritual glory, * guarding us who run to you and fervently entreat you: * As the Commanders of the hosts on high, * rescue us faithful from dangers of every kind. [SD]

## Τοῦ Ναοῦ.

(Τὸ Ἀπολυτίκιον τοῦ Ναοῦ.)

Τοῦ Μηναίου - - -

## Κοντάκιον.

**Ἦχος δʹ.** *Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ὁ καθαρώτατος ναὸς τοῦ Σωτῆρος, ἡ πολυτίμητος παστὰς καὶ Παρθένος, τὸ ἱερὸν θησαύρισμα τῆς δόξης τοῦ Θεοῦ, σήμερον εἰσάγεται, ἐν τῷ οἴκῳ Κυρίου, τὴν χάριν συνεισάγουσα, τὴν ἐν Πνεύματι Θείῳ· ἣν ἀνυμνοῦσιν Ἄγγελοι Θεοῦ· Αὕτη ὑπάρχει σκηνὴ ἐπουράνιος.

**ΔΙΑΚΟΝΟΣ**

Τοῦ Κυρίου δεηθῶμεν.

*(Κύριε, ἐλέησον.)*

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

ΕΥΧΗ ΤΟΥ ΤΡΙΣΑΓΙΟΥ ΥΜΝΟΥ

Ὁ Θεὸς ὁ Ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, ὁ τρισαγίῳ φωνῇ ὑπό τῶν Σεραφεὶμ ἀνυμνούμενος καὶ ὑπό τῶν Χερουβεὶμ δοξολογούμενος, καὶ ὑπὸ πάσης ἐπουρανίου δυνάμεως προσκυνούμενος ὁ ἐκ τοῦ μὴ ὄντος εἰς το εἶναι παραγαγὼν τὰ σύμπαντα ὁ κτίσας τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν καὶ παντί σου χαρίσματι κατακοσμήσας, ὁ διδοὺς αἰτοῦντι σοφίαν καὶ σύνεσιν, καὶ μὴ παρορῶν ἁμαρτάνοντα, ἀλλὰ θέμενος ἐπὶ σωτηρίᾳ μετάνοιαν, ὁ καταξιώσας ἡμᾶς, τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου, καὶ ἐν τῇ ὥρᾳ ταύτῃ στῆναι κατενώπιον τῆς δόξης τοῦ ἁγίου σου θυσιαστηρίου, καὶ τὴν ὀφειλομένην σοι προσκύνησιν καὶ δοξολογίαν προσάγειν. Αὐτός, Δέσποτα, πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν Τρισάγιον ὕμνον καὶ ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου. Συγχώρησον ἡμῖν πᾶν πλημμέλημα, ἑκούσιόν τε καὶ ἀκούσιον, ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα καὶ δὸς ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς

## Apolytikion of the Parish Church

(The text of the Apolytikion of the local church goes here.)

From Menaion - - -

## Kontakion.

**Mode 4.** *You who were lifted.*

The Savior's most pure and immaculate temple, the very precious bridal chamber and Virgin, who is the sacred treasure of the glory of God, on this day is introduced into the House of the Lord, and with herself she brings the grace in the divine Spirit. She is extolled by the Angels of God. A heavenly tabernacle is she. [SD]

**DEACON**

Let us pray to the Lord.

*(Lord, have mercy.)*

**PRIEST** *(in a low voice)*

THE PRAYER OF THE TRISAGION HYMN

O Holy God, Who is resting among the holy ones, praised by the Seraphim with the thrice-holy voice, glorified by the Cherubim, and worshiped by every celestial power, You have brought all things into being out of nothing. You have created man according to Your image and likeness and adorned him with all the gifts of Your grace. You give wisdom and understanding to the one who asks, and You overlook not the sinner, but have set repentance as the way of salvation. You have granted us, Your humble and unworthy servants, to stand even at this hour before the glory of Your holy Altar of sacrifice and to offer to You due worship and praise. Master, accept the Trisagion Hymn also from the lips of us sinners, and visit us in Your goodness. Forgive all our voluntary and involuntary transgressions, sanctify our souls and bodies, and grant that we may worship You in holiness all the days of our lives, through the intercessions of the holy Theotokos and of all the saints who have pleased You throughout the ages.

ἡμῶν, πρεσβείαις τῆς ἁγίας Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων, τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων.

**ΙΕΡΕΥΣ**

Ὅτι Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί...

**ΔΙΑΚΟΝΟΣ**

...καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**ΧΟΡΟΣ**

Ἀμήν.

## Ο ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ

Ἅγιος ὁ Θεός, ἅγιος Ἰσχυρός, ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἐκ γ′)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

**ΔΙΑΚΟΝΟΣ**

Δύναμις.

**ΔΙΑΚΟΝΟΣ** *(χαμηλοφώνως)*

Κέλευσον, Δέσποτα.

**ΙΕΡΕΥΣ**

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

**ΔΙΑΚΟΝΟΣ**

Εὐλόγησον, Δέσποτα, τὴν ἄνω καθέδραν.

**ΙΕΡΕΥΣ**

Εὐλογημένος εἶ, ὁ ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου, ὁ καθήμενος ἐπί τῶν Χερουβείμ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**ΧΟΡΟΣ**

**Δύναμις.**

Ἅγιος ὁ Θεός, ἅγιος Ἰσχυρός, ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

**PRIEST**

For You, our God, are holy, and to You we offer up glory, to the Father and to the Son and to the Holy Spirit, now and forever,

**DEACON**

And to the ages of ages.

**CHOIR**

Amen.

## THE TRISAGION HYMN

Holy God, Holy Mighty, Holy Immortal, have mercy on us. (3) [GOA]

Glory to the Father and the Son and the Holy Spirit. Both now and ever and to the ages of ages. Amen.

Holy Immortal, have mercy on us.

**DEACON**

Dynamis.

**DEACON** *(in a low voice)*

Command, Master.

**PRIEST**

Blessed is He Who comes in the name of the Lord.

**DEACON**

Master, bless the throne on high.

**PRIEST**

Blessed are You upon the throne of the glory of Your kingdom, enthroned upon the Cherubim always, now and forever and to the ages of ages. Amen.

**CHOIR**

**Dynamis.**

Holy God, Holy Mighty, Holy Immortal, have mercy on us. [GOA]

## Τὰ Ἀναγνώσματα
## Ὁ Ἀπόστολος

Τῶν Ἀσωμάτων.

**ΔΙΑΚΟΝΟΣ**

Πρόσχωμεν.

**ΑΝΑΓΝΩΣΤΗΣ**

Προκείμενον. Ἦχος δ'. Ψαλμὸς 103.

Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

**Στίχ.** *Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.*

**ΔΙΑΚΟΝΟΣ**

Σοφία.

**ΑΝΑΓΝΩΣΤΗΣ**

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

**ΔΙΑΚΟΝΟΣ**

Πρόσχωμεν.

**ΑΝΑΓΝΩΣΤΗΣ**

Εβρ 2:2-10

Ἀδελφοί, εἰ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν, πῶς ἡμεῖς ἐκφευξόμεθα τηλικαύτης ἀμελήσαντες σωτηρίας; Ἥτις, ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη, συνεπιμαρτυροῦντος τοῦ θεοῦ σημείοις τε καὶ τέρασιν, καὶ ποικίλαις δυνάμεσιν, καὶ πνεύματος ἁγίου μερισμοῖς, κατὰ τὴν αὐτοῦ θέλησιν. Οὐ γὰρ ἀγγέλοις ὑπέταξεν τὴν οἰκουμένην τὴν μέλλουσαν, περὶ ἧς λαλοῦμεν. Διεμαρτύρατο δέ πού τις λέγων, Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνῄσκῃ αὐτοῦ; Ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; Ἠλάττωσας αὐτὸν βραχύ τι παρ# ἀγγέλους· δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν· πάντα

## The Readings
## The Epistle

For the Angels.

**DEACON**

Let us be attentive.

**READER**

Prokeimenon. Mode 4. Psalm 103.

He makes His angels spirits and His ministers a flame of fire. [SAAS]

**Verse:** *Bless the Lord, O my soul.* [SAAS]

**DEACON**

Wisdom.

**READER**

The reading is from Paul's Letter to the Hebrews.

**DEACON**

Let us be attentive.

**READER**

Heb. 2:2-10

Brethren, if the message declared by angels was valid and every transgression or disobedience received a just retribution, how shall we escape if we neglect such a great salvation? It was declared at first by the Lord, and it was attested to us by those who heard him, while God also bore witness by signs and wonders and various miracles and by gifts of the Holy Spirit distributed according to his own will. For it was not to angels that God subjected the world to come, of which we are speaking. It has been testified somewhere, "What is man that thou art mindful of him, or the son of man, that thou carest for him? Thou didst make him for a little while lower than the angels, thou hast crowned him with glory and honor, putting everything in subjection

ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ. Ἐν γὰρ τῷ ὑποτάξαι αὐτῷ τὰ πάντα, οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον. Νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα. Τὸν δὲ βραχύ τι παρ# ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν, διὰ τὸ πάθημα τοῦ θανάτου δόξῃ καὶ τιμῇ ἐστεφανωμένον, ὅπως χάριτι θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου. Ἔπρεπεν γὰρ αὐτῷ, δι# ὃν τὰ πάντα, καὶ δι# οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι.

under his feet." Now in putting everything in subjection to him, he left nothing outside his control. As it is, we do not yet see everything in subjection to him. But we see Jesus, who for a little while was made lower than the angels, crowned with glory and honor because of the suffering of death, so that by the grace of God he might taste death for every one. For it was fitting that he, for whom and by whom all things exist, in bringing many sons to glory, should make the pioneer of their salvation perfect through suffering. [RSV]

**ΙΕΡΕΥΣ**

Εἰρήνη σοι τῷ ἀναγινώσκοντι.

**PRIEST**

Peace be with you.

**ΧΟΡΟΣ**

Ἀλληλούϊα. Ἦχος πλ. α'. Ψαλμὸς 88.

Ἀλληλούϊα. Ἀλληλούϊα. Ἀλληλούϊα.

**Στίχ. α'.** *Τὰ ἐλέη σου, Κύριε, εἰς τὸν αἰῶνα ᾄσομαι.*

Ἀλληλούϊα. Ἀλληλούϊα. Ἀλληλούϊα.

**Στίχ. β'.** *Ὅτι εἶπας· Εἰς τὸν αἰῶνα ἔλεος οἰκοδομηθήσεται.*

Ἀλληλούϊα. Ἀλληλούϊα. Ἀλληλούϊα.

**CHOIR**

Alleluia. Mode pl. 1. Psalm 88.

Alleluia. Alleluia. Alleluia.

**Verse 1:** *O Lord, I will sing of Your mercies forever.* [SAAS]

Alleluia. Alleluia. Alleluia.

**Verse 2:** *For You said, "Mercy shall be built up forever."* [SAAS]

Alleluia. Alleluia. Alleluia.

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

ΕΥΧΗ ΤΟΥ ΕΥΑΓΓΕΛΙΟΥ

Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν, φιλάνθρωπε Δέσποτα, τὸ τῆς σῆς θεογνωσίας ἀκήρατον φῶς, καί τοὺς τῆς διανοίας ἡμῶν ὀφθαλμοὺς διάνοιξον εἰς τὴν τῶν εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν. Ἔνθες ἡμῖν καὶ τὸν τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα τὰς σαρκικὰς ἐπιθυμίας πάσας καταπατήσαντες, πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα τὰ πρὸς εὐαρέστησιν τὴν σὴν καὶ φρονοῦντες καὶ πράττοντες.Σὺ γὰρ εἶ ὁ φωτισμός τῶν ψυχῶν καί τῶν σωμάτων ἡμῶν, Χριστὲ ὁ Θεός, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ

**PRIEST** *(in a low voice)*

THE PRAYER OF THE HOLY GOSPEL

Shine in our hearts, O Master Who loves mankind, the pure light of Your divine knowledge, and open the eyes of our mind that we may comprehend the proclamations of Your Gospels. Instill in us also reverence for Your blessed commandments so that, having trampled down all carnal desires, we may lead a spiritual life, both thinking and doing all those things that are pleasing to You. For You, Christ our God, are the illumination of our souls and bodies, and to You we offer up glory, together with Your Father, Who is without beginning, and Your all-holy, good, and life-creating Spirit, now and forever and to the ages of ages. Amen.

καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Τὸ Εὐαγγέλιον

ΚΥΡΙΑΚΗι Ζ' ΤΟΥ ΛΟΥΚΑ

**ΔΙΑΚΟΝΟΣ**

Σοφία. Ὀρθοί. Ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

**ΙΕΡΕΥΣ**

Εἰρήνη πᾶσι.

*(Καὶ τῷ πνεύματί σου.)*

**ΔΙΑΚΟΝΟΣ**

Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

**ΙΕΡΕΥΣ**

Πρόσχωμεν.

*(Δόξα σοι, Κύριε, δόξα σοι.)*

**ΔΙΑΚΟΝΟΣ**

Λου η' 41 - 56

Τῷ καιρῷ ἐκείνῳ, ἄνθρωπός τις προσῆλθε τῷ Ἰησοῦ, ᾧ ὄνομα Ἰάειρος, καὶ αὐτὸς ἄρχων τῆς συναγωγῆς ὑπῆρχε· καὶ πεσὼν παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ παρεκάλει αὐτὸν εἰσελθεῖν εἰς τὸν οἶκον αὐτοῦ, ὅτι θυγάτηρ μονογενὴς ἦν αὐτῷ ὡς ἐτῶν δώδεκα καὶ αὕτη ἀπέθνῃσκεν. Ἐν δὲ τῷ ὑπάγειν αὐτὸν οἱ ὄχλοι συνέπνιγον αὐτόν. καὶ γυνὴ οὖσα ἐν ῥύσει αἵματος ἀπὸ ἐτῶν δώδεκα, ἥτις ἰατροῖς προσαναλώσασα ὅλον τὸν βίον οὐκ ἴσχυσεν ὑπ' οὐδενὸς θεραπευθῆναι, προσελθοῦσα ὄπισθεν ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ, καὶ παραχρῆμα ἔστη ἡ ῥύσις τοῦ αἵματος αὐτῆς. καὶ εἶπεν ὁ Ἰησοῦς· Τίς ὁ ἁψάμενός μου; ἀρνουμένων δὲ πάντων εἶπεν ὁ Πέτρος καὶ οἱ σὺν αὐτῷ· Ἐπιστάτα, οἱ ὄχλοι συνέχουσί σε καὶ ἀποθλίβουσι καὶ λέγεις τίς ὁ ἁψάμενός μου; ὁ δὲ Ἰησοῦς

## The Gospel

Seventh Sunday of Luke

**DEACON**

Wisdom. Arise. Let us hear the Holy Gospel.

**PRIEST**

Peace be with all.

*(And with your spirit.)*

**DEACON**

The reading is from the Holy Gospel according to Luke.

**PRIEST**

Let us be attentive.

*(Glory to You, O Lord, glory to You.)*

**DEACON**

Lk. 8:41-56

At that time, there came to Jesus a man named Jairus, who was a ruler of the synagogue; and falling at Jesus' feet he besought him to come to his house, for he had an only daughter, about twelve years of age, and she was dying. As he went, the people pressed round him. And a woman who had had a flow of blood for twelve years and had spent all her living upon physicians and could not be healed by anyone, came up behind him, and touched the fringe of his garment; and immediately her flow of blood ceased. And Jesus said, "Who was it that touched me?" When all denied it, Peter said, "Master, the multitudes surround you and press upon you!" But Jesus said, "Some one touched me; for I perceive that power has gone forth from me." And when the woman saw that she was not hidden, she came trembling, and falling

εἶπεν· Ἥψατό μού τις· ἐγὼ γὰρ ἔγνων δύναμιν ἐξελθοῦσαν ἀπ' ἐμοῦ. ἰδοῦσα δὲ ἡ γυνὴ ὅτι οὐκ ἔλαθε, τρέμουσα ἦλθε καὶ προσπεσοῦσα αὐτῷ δι' ἣν αἰτίαν ἥψατο αὐτοῦ ἀπήγγειλεν αὐτῷ ἐνώπιον παντὸς τοῦ λαοῦ, καὶ ὡς ἰάθη παραχρῆμα. ὁ δὲ εἶπεν αὐτῇ· Θάρσει, θύγατερ, ἡ πίστις σου σέσωκέ σε· πορεύου εἰς εἰρήνην. Ἔτι αὐτοῦ λαλοῦντος ἔρχεταί τις παρὰ τοῦ ἀρχισυναγώγου λέγων αὐτῷ ὅτι Τέθνηκεν ἡ θυγάτηρ σου· μὴ σκύλλε τὸν διδάσκαλον. ὁ δὲ Ἰησοῦς ἀκούσας ἀπεκρίθη αὐτῷ λέγων· Μὴ φοβοῦ· μόνον πίστευε, καὶ σωθήσεται. ἐλθὼν δὲ εἰς τὴν οἰκίαν οὐκ ἀφῆκεν εἰσελθεῖν οὐδένα εἰ μὴ Πέτρον καὶ Ἰωάννην καὶ Ἰάκωβον καὶ τὸν πατέρα τῆς παιδὸς καὶ τὴν μητέρα. ἔκλαιον δὲ πάντες καὶ ἐκόπτοντο αὐτήν. ὁ δὲ εἶπε· Μὴ κλαίετε· οὐκ ἀπέθανεν, ἀλλὰ καθεύδει. καὶ κατεγέλων αὐτοῦ, εἰδότες ὅτι ἀπέθανεν. αὐτὸς δὲ ἐκβαλὼν ἔξω πάντας καὶ κρατήσας τῆς χειρὸς αὐτῆς ἐφώνησε λέγων· Ἡ παῖς, ἐγείρου. καὶ ἐπέστρεψε τὸ πνεῦμα αὐτῆς, καὶ ἀνέστη παραχρῆμα, καὶ διέταξεν αὐτῇ δοθῆναι φαγεῖν. καὶ ἐξέστησαν οἱ γονεῖς αὐτῆς· ὁ δὲ παρήγγειλεν αὐτοῖς μηδενὶ εἰπεῖν τὸ γεγονός.

down before him declared in the presence of all the people why she had touched him, and how she had been immediately healed. And he said to her, "Daughter, your faith has made you well; go in peace." While he was still speaking, a man from the ruler's house came and said, "Your daughter is dead; do not trouble the Teacher any more." But Jesus on hearing this answered him, "Do not fear; only believe, and she shall be well." And when he came to the house, he permitted no one to enter with him, except Peter and John and James, and the father and mother of the child. And all were weeping and bewailing her; but he said, "Do not weep; for she is not dead but sleeping." And they laughed at him, knowing that she was dead. But taking her by the hand he called, saying, "Child, arise." And her spirit returned, and she got up at once; and he directed that something should be given her to eat. And her parents were amazed; but he charged them to tell no one what had happened. [RSV]

**ΙΕΡΕΥΣ**

Εἰρήνη σοι.

**PRIEST**

Peace be with you.

**ΧΟΡΟΣ**

Δόξα σοι, Κύριε, δόξα σοι.

**CHOIR**

Glory to You, O Lord, glory to You.

## ΤΟ ΚΗΡΥΓΜΑ

*(Κατὰ τὴν ἀρχαιοτάτην παράδοσιν, τὸ κήρυγμα τοῦ θείου λόγου ἐγίνετο εὐθὺς μετὰ τὰ ἀναγνώσματα.)*

## THE SERMON

*(According to ancient tradition, the sermon was delivered following the readings.)*

*Οἱ ἀκόλουθες λιτανίες συνήθως παραλείποντα.*

## Η ΜΕΓΑΛΗ ΕΚΤΕΝΗΣ ΙΚΕΣΙΑ ἢ ΔΕΗΣΙΣ

**ΔΙΑΚΟΝΟΣ**

*Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.*

*(Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.)*

*Κύριε παντοκράτορ ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.*

*Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.*

*Ἔτι δεόμεθα ὑπὲρ τοῦ (ἀρχιερατικοῦ βαθμοῦ) ἡμῶν (τοῦ δεῖνος).*

*Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.*

*Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ Ὀρθοδόξων Χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ (πόλει, κώμῃ), ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου.*

*Ἔτι δεόμεθα ὑπέρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς, κειμένων, καὶ ἁπανταχοῦ Ὀρθοδόξων.*

*Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.*

*The following litanies are usually omitted.*

## THE LITANY OF FERVENT SUPPLICATION

**DEACON**

*Let us all say with all our soul and with all our mind, let us all say.*

*(Lord, have mercy. Lord, have mercy. Lord, have mercy.)*

*Lord almighty, God of our fathers, we pray You, hear us and have mercy.*

*Have mercy on us, O God, according to Your great mercy, we pray You, hear us and have mercy.*

*Again we pray for (episcopal rank) (name).*

*Again we pray for our brethren: the priests, the hieromonks, the hierodeacons, the monastics, and all our brotherhood in Christ.*

*Again we pray for mercy, life, peace, health, salvation, protection, forgiveness, and remission of the sins of the servants of God, all pious Orthodox Christians residing and visiting in this city: the parishioners, the members of the parish council, the stewards, and benefactors of this holy church.*

*Again we pray for the blessed and ever-memorable founders of this holy church, and for all our fathers and brethren who have fallen asleep before us, who here have been piously laid to their rest, as well as the Orthodox everywhere.*

*Again we pray for those who bear fruit and do good works in this holy and all-venerable church, for those who labor and those who sing, and for the people here present who await Your great and rich mercy.*

**ΙΕΡΕΥΣ (χαμηλοφώνως)**

*ΕΥΧΗ ΤΗΣ ΕΚΤΝΟΥΣ ΙΚΕΣΙΑΣ*

*Κύριε ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, καί τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ' ἡμᾶς, καὶ ἐπὶ πάντα τὸν λαόν σου, ἀπεκδεχόμενον τὸ παρά σοῦ μέγα καὶ πλούσιον ἔλεος.*

**PRIEST (in a low voice)**

*THE PRAYER OF FERVENT SUPPLICATION*

*Lord our God, accept this fervent supplication from Your servants, and have mercy on us in accordance with the abundance of Your mercy, and send down Your compassion upon us and upon all Your people who await Your great and rich mercy.*

**ΙΕΡΕΥΣ**

*Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

*(Ἀμήν.)*

**PRIEST**

*For You are a merciful God Who loves mankind, and to You we offer up glory, to the Father and to the Son and to the Holy Spirit, now and forever and to the ages of ages.*

*(Amen.)*

## ΔΕΗΣΙΣ ΥΠΕΡ ΤΩΝ ΚΑΤΗΧΟΥΜΕΝΩΝ

**ΔΙΑΚΟΝΟΣ**

*Εὔξασθε οἱ Κατηχούμενοι τῷ Κυρίῳ.*

*(Κύριε, ἐλέησον.)*

*Οἱ πιστοί, ὑπέρ τῶν Κατηχουμένων δεηθῶμεν.*

*(Κύριε, ἐλέησον.)*

*Ἵνα ὁ Κύριος αὐτοὺς ἐλεήσῃ.*

*(Κύριε, ἐλέησον.)*

*Κατηχήσῃ αὐτοὺς τὸν λόγον τῆς ἀληθείας.*

*(Κύριε, ἐλέησον.)*

*Ἀποκαλύψῃ αὐτοῖς τὸ Εὐαγγέλιον τῆς δικαιοσύνης.*

*(Κύριε, ἐλέησον.)*

*Ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ Καθολικῇ καὶ Ἀποστολικῇ Ἐκκλησίᾳ.*

*(Κύριε, ἐλέησον.)*

*Σῶσον, ἐλέησον, ἀντιλαβοῦ, καὶ διαφύλαξον αὐτούς, ὁ Θεός, τῇ σῇ χάριτι.*

*(Κύριε, ἐλέησον.)*

## THE PRAYERS FOR THE CATECHUMENS

**DEACON**

*Catechumens, pray to the Lord.*

*(Lord, have mercy.)*

*Let us, the faithful, pray for the catechumens.*

*(Lord, have mercy.)*

*That the Lord will have mercy on them.*

*(Lord, have mercy.)*

*That He will teach them the word of truth.*

*(Lord, have mercy.)*

*That He will reveal to them the gospel of righteousness.*

*(Lord, have mercy.)*

*That He will unite them to His holy, catholic, and apostolic Church.*

*(Lord, have mercy.)*

*Save them, have mercy on them, help them, and protect them, O God, by Your grace.*

*(Lord, have mercy.)*

*Οἱ Κατηχούμενοι τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.*

*(Σοί, Κύριε.)*

*Catechumens, bow your heads to the Lord.*

*(To You, O Lord.)*

**ΙΕΡΕΥΣ (χαμηλοφώνως)**

ΕΥΧΗ ΤΩΝ ΚΑΤΗΧΟΥΜΕΝΩΝ

*Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, ὁ διὰ τὴν σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων ἐξαποστείλας, τὸν μονογενῆ σου Υἱὸν καὶ Θεόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς Κατηχουμένους, τοὺς ὑποκεκλικότας σοι τὸν ἑαυτῶν αὐχένα, καὶ καταξίωσον αὐτούς, ἐν καιρῷ εὐθέτῳ, τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας, ἕνωσον αὐτοὺς τῇ ἁγίᾳ σου, Καθολικῇ καὶ Ἀποστολικῇ Ἐκκλησίᾳ καὶ συγκαταρίθμησον αὐτοὺς τῇ ἐκλεκτῇ σου ποίμνῃ.*

**PRIEST (in a low voice)**

THE PRAYER FOR THE CATECHUMENS

*Lord our God, Who dwells on high and watches over the humble, You sent forth Your only-begotten Son and God, our Lord Jesus Christ, for the salvation of the human race. Look down upon Your servants, the catechumens, who have inclined their necks to You, and grant them at a proper time the baptism of rebirth, the remission of sins, and the garment of incorruption. Unite them to Your holy, catholic, and apostolic Church, and number them among Your chosen flock.*

**ΙΕΡΕΥΣ**

*Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

*(Ἀμήν.)*

**PRIEST**

*So that with us they also may glorify Your most honorable and majestic name, of the Father and of the Son and of the Holy Spirit, now and forever and to the ages of ages.*

*(Amen.)*

**ΔΙΑΚΟΝΟΣ**

*Ὅσοι κατηχούμενοι, προέλθετε. Οἱ Κατηχούμενοι, προέλθετε. Ὅσοι κατηχούμενοι προέλθετε. Μή τις τῶν κατηχουμένων.*

**DEACON**

*Those who are catechumens, depart, catechumens depart, all those who are catechumens, depart. Let none of the catechumens remain.*

## ΔΕΗΣΕΙΣ ΤΩΝ ΠΙΣΤΩΝ

**ΔΙΑΚΟΝΟΣ**

*Ὅσοι πιστοί, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.*

*(Κύριε, ἐλέησον.)*

*Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.*

*(Κύριε, ἐλέησον.)*

*Σοφία.*

## THE SUPPLICATION OF THE FAITHFUL

**DEACON**

*Again and again, in peace, let all of us, the faithful, pray to the Lord.*

*(Lord, have mercy.)*

*Help us, save us, have mercy on us, and protect us, O God, by Your grace.*

*(Lord, have mercy.)*

*Wisdom.*

**ΙΕΡΕΥΣ (χαμηλοφώνως)**

*ΕΥΧΗ ΤΩΝ ΠΙΣΤΩΝ Α'*

*Εὐχαριστοῦμέν σοι, Κύριε, ὁ Θεός τῶν δυνάμεων, τῷ καταξιώσαντι ἡμᾶς παραστῆναι καὶ νῦν τῷ ἁγίῳ σου θυσιαστηρίῳ καὶ προσπεσεῖν τοῖς οἰκτιρμοῖς σου ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καί τῶν τοῦ λαοῦ ἀγνοημάτων. Πρόσδεξαι, ὁ Θεός, τὴν δέησιν ἡμῶν, ποίησον ἡμᾶς ἀξίους γενέσθαι τοῦ προσφέρειν σοι δεήσεις καὶ ἱκεσίας καὶ θυσίας ἀναιμάκτους ὑπὲρ παντός τοῦ λαοῦ σου, καὶ ἱκάνωσον ἡμᾶς, οὓς ἔθου εἰς τὴν διακονίαν σου ταύτην, ἐν τῇ δυνάμει τοῦ Πνεύματός σου τοῦ Ἁγίου, ἀκαταγνώστως καὶ ἀπροσκόπτως, ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν, ἐπικαλεῖσθαί σε ἐν παντὶ καιρῷ καὶ τόπῳ, ἵνα εἰσακούων ἡμῶν, ἵλεως ἡμῖν εἴης, ἐν τῷ πλήθει τῆς σῆς ἀγαθότητος.*

**PRIEST (in a low voice)**

*THE FIRST PRAYER OF THE FAITHFUL*

*We give thanks to You, O Lord God of Hosts, Who has made us worthy to stand even now before Your holy Altar of sacrifice and to fall down before You seeking Your compassion for our sins and those committed in ignorance by the people. Accept, O God, our supplication. Make us worthy to offer You prayers, supplications, and bloodless sacrifices for all Your people. By the power of Your Holy Spirit, make us, whom You have appointed to this, Your ministry, free of blame or stumbling and, with the witness of a clear conscience, able to call upon You at every time and in every place, so that, hearing us, You may be merciful to us in the abundance of Your goodness.*

**ΙΕΡΕΥΣ**

*Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

*(Ἀμήν.)*

**PRIEST**

*For to You belong all glory, honor, and worship, to the Father and to the Son and to the Holy Spirit, now and forever and to the ages of ages.*

*(Amen.)*

**ΔΙΑΚΟΝΟΣ**

*Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.*

*(Κύριε, ἐλέησον.)*

*Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.*

*(Κύριε, ἐλέησον.)*

*Σοφία.*

**DEACON**

*Again and again, in peace, let us pray to the Lord.*

*(Lord, have mercy.)*

*Help us, save us, have mercy on us, and protect us, O God, by Your grace.*

*(Lord, have mercy.)*

*Wisdom.*

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

ΕΥΧΗ ΤΩΝ ΠΙΣΤΩΝ Β΄

Πάλιν καὶ πολλάκις σοι προσπίπτομεν καί σοῦ δεόμεθα, ἀγαθὲ καὶ φιλάνθρωπε, ὅπως, ἐπιβλέψας ἐπὶ τὴν δέησιν ἡμῶν, καθαρίσῃς ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, καὶ δῴης ἡμῖν ἀνένοχον καὶ ἀκατάκριτον τὴν παράστασιν τοῦ ἁγίου σου θυσιαστηρίου. Χάρισαι δέ, ὁ Θεός, καὶ τοῖς συνευχομένοις ἡμῖν προκοπὴν βίου καὶ πίστεως καὶ συνέσεως πνευματικῆς, δὸς αὐτοῖς πάντοτε, μετὰ φόβου καὶ ἀγάπης λατρεύειν σοι, ἀνενόχως καὶ ἀκατακρίτως μετέχειν τῶν ἁγίων σου μυστηρίων, καί τῆς ἐπουρανίου σου βασιλείας ἀξιωθῆναι.

**ΙΕΡΕΥΣ**

Ὅπως ὑπό τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*(Ἀμήν.)*

## Η ΜΕΓΑΛΗ ΕΙΣΟΔΟΣ

**ΧΟΡΟΣ**

### Τὸ Χερουβικόν.

Οἱ τὰ Χερουβεὶμ μυστικῶς εἰκονίζοντες, καὶ τῇ ζωοποιῷ Τριάδι τὸν τρισάγιον ὕμνον προσᾴδοντες, πᾶσαν νῦν βιοτικὴν ἀποθώμεθα μέριμναν. Ὡς τὸν Βασιλέα τῶν ὅλων ὑποδεξόμενοι.

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

ΕΥΧΗ ΤΟΥ ΧΕΡΟΥΒΙΚΟΥ ΥΜΝΟΥ

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς προσέρχεσθαι ἢ προσεγγίζειν, ἢ λειτουργεῖν σοι, Βασιλεῦ τῆς δόξης· τὸ γὰρ διακονεῖν σοι μέγα καὶ φοβερόν, καὶ αὐταῖς ταῖς ἐπουρανίαις δυνάμεσιν. Ἀλλ' ὅμως, διὰ τὴν ἄφατον καὶ ἀμέτρητόν σου φιλανθρωπίαν, ἀτρέπτως καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος καὶ ἀρχιερεὺς ἡμῶν ἐχρημάτισας, καί τῆς λειτουργικῆς ταύτης καὶ ἀναιμάκτου θυσίας τὴν ἱερουργίαν παρέδωκας ἡμῖν, ὡς Δεσπότης τῶν ἁπάντων. Σὺ γὰρ μόνος, Κύριε ὁ Θεὸς ἡμῶν, δεσπόζεις

**PRIEST** *(in a low voice)*

THE SECOND PRAYER OF THE FAITHFUL

Again and countless times we fall down before You, and we implore You, O Good One, Who loves mankind: That You, having regarded our prayer, may cleanse our souls and bodies from every defilement of flesh and spirit, and grant to us to stand before Your holy Altar of sacrifice, free of guilt and condemnation. Grant also, O God, to those who pray with us, progress in life, faith, and spiritual understanding. Grant that they always worship You with awe and love, partake of Your Holy Mysteries without guilt or condemnation, and be deemed worthy of Your celestial Kingdom.

**PRIEST**

That, ever guarded by Your might, we may ascribe glory to You, to the Father and to the Son and to the Holy Spirit, now and forever and to the ages of ages.

*(Amen.)*

## THE GREAT ENTRANCE

**CHOIR**

### The Cherubic Hymn.

Let us, who mystically represent the Cherubim and who sing the thrice-holy hymn to the life-creating Trinity, now lay aside every worldly care. So that we may receive the King of all. [GOA]

**PRIEST** *(in a low voice)*

THE PRAYER OF THE CHERUBIC HYMN

No one bound by carnal desires and pleasures is worthy to approach, draw near, or minister to You, the King of Glory. For to serve You is great and awesome even for the heavenly powers. Yet, because of Your ineffable and immeasurable love for mankind, You impassibly and immutably became man. You, as the Master of all, became our high priest and delivered unto us the sacred service of this liturgical sacrifice without the shedding of blood. Indeed, Lord our God, You alone reign over the celestial and the terrestrial; borne aloft on the cherubic throne, Lord

τῶν ἐπουρανίων καί τῶν ἐπιγείων, ὁ ἐπὶ θρόνου Χερουβικοῦ ἐποχούμενος, ὁ τῶν Σεραφεὶμ Κύριος, καὶ βασιλεύς τοῦ Ἰσραήλ, ὁ Μόνος Ἅγιος καὶ ἐν ἁγίοις ἀναπαυόμενος, σὲ τοίνυν δυσωπῶ τὸν μόνον ἀγαθὸν καὶ εὐήκοον, ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἁμαρτωλὸν καὶ ἀχρεῖον δούλόν σου, καὶ καθάρισόν μου τὴν ψυχὴν καὶ τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς, καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ Ἁγίου σου Πνεύματος, ἐνδεδυμένον τὴν τῆς ἱερατείας χάριν, παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ τραπέζῃ καὶ ἱερουργῆσαι τὸ ἅγιον καὶ ἄχραντόν σου Σῶμα καὶ τὸ τίμιον Αἷμα. Σοὶ γὰρ προσέρχομαι, κλίνας τὸν ἐμαυτοῦ αὐχένα καὶ δέομαί σου, μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, μηδὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου, ἀλλ' ἀξίωσον προσενεχθῆναί σοι ὑπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου τὰ δῶρα ταῦτα. Σὺ γὰρ εἶ ὁ προσφέρων καὶ προσφερόμενος καὶ προσδεχόμενος καὶ διαδιδόμενος, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ Παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

of the Seraphim and King of Israel, the only holy and resting among the holy ones. I now beseech You, Who alone are good and inclined to hear: Look down upon me, Your sinful and unprofitable servant, and cleanse my soul and heart of a wicked conscience; and enable me, by the power of Your Holy Spirit, clothed with the grace of the priesthood, to stand before Your holy Table and celebrate the Mystery of Your holy and pure Body and Your precious Blood. I come before You with my head bowed, and I implore You: Turn not Your face away from me, nor reject me from among Your children, but make me, Your sinful and unworthy servant, worthy to offer these gifts to You. For You are the One Who both offers and is offered, the One Who is received and is distributed, O Christ our God, and to You we offer up glory, with Your Father, Who is without beginning, and Your all-holy and good and life-creating Spirit, now and forever and to the ages of ages. Amen.

**ΔΙΑΚΟΝΟΣ**

Πάντων ἡμῶν μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ Βασιλείᾳ Αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**DEACON**

May the Lord God remember all of us in His Kingdom always, now and forever and to the ages of ages.

**ΧΟΡΟΣ**

Ἀμήν.

Ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν. Ἀλληλούϊα. Ἀλληλούϊα. Ἀλληλούϊα.

**CHOIR**

Amen.

Who is invisibly escorted by the angelic hosts. Alleluia. Alleluia. Alleluia. [GOA]

## ΤΑ ΠΛΗΡΩΤΙΚΑ

**ΔΙΑΚΟΝΟΣ**

Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

**ΧΟΡΟΣ**

*(Κύριε, ἐλέησον.)*

Ὑπὲρ τῶν προτεθέντων τιμίων Δώρων, τοῦ Κυρίου δεηθῶμεν.

*(Κύριε, ἐλέησον.)*

## THE LITANY OF COMPLETION

**DEACON**

Let us complete our prayer to the Lord.

**CHOIR**

*(Lord, have mercy.)*

For the precious Gifts here presented, let us pray to the Lord.

*(Lord, have mercy.)*

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

*(Κύριε, ἐλέησον.)*

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

*(Κύριε, ἐλέησον.)*

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

*(Κύριε, ἐλέησον.)*

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

**ΧΟΡΟΣ**

*(Παράσχου, Κύριε.)*

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

*(Παράσχου, Κύριε.)*

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

*(Παράσχου, Κύριε.)*

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

*(Παράσχου, Κύριε.)*

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

*(Παράσχου, Κύριε.)*

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

*(Παράσχου, Κύριε.)*

For this holy house and for those who enter it with faith, reverence, and the fear of God, let us pray to the Lord.

*(Lord, have mercy.)*

For our deliverance from all affliction, wrath, danger, and necessity, let us pray to the Lord.

*(Lord, have mercy.)*

Help us, save us, have mercy on us, and protect us, O God, by Your grace.

*(Lord, have mercy.)*

That the whole day may be perfect, holy, peaceful, and sinless, let us ask the Lord.

**CHOIR**

*(Grant this, O Lord.)*

For an angel of peace, a faithful guide, a guardian of our souls and bodies, let us ask the Lord.

*(Grant this, O Lord.)*

For pardon and remission of our sins and transgressions, let us ask the Lord.

*(Grant this, O Lord.)*

For that which is good and beneficial for our souls, and for peace for the world, let us ask the Lord.

*(Grant this, O Lord.)*

That we may complete the remaining time of our life in peace and repentance, let us ask the Lord.

*(Grant this, O Lord.)*

And let us ask for a Christian end to our life, peaceful, without shame and suffering, and for a good defense before the awesome judgment seat of Christ.

*(Grant this, O Lord.)*

Τῆς Παναγίας ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*(Σοί, Κύριε.)*

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

Η ΕΥΧΗ ΤΗΣ ΠΡΟΣΚΟΜΙΔΗΣ

Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ μόνος ἅγιος, ὁ δεχόμενος θυσίαν αἰνέσεως παρά τῶν ἐπικαλουμένων σε ἐν ὅλῃ καρδίᾳ, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὴν δέησιν καὶ προσάγαγε τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ ἱκάνωσον ἡμᾶς προσενεγκεῖν σοι δῶρα τε καὶ θυσίας πνευματικὰς ὑπέρ τῶν ἡμετέρων ἁμαρτημάτων καί τῶν τοῦ λαοῦ ἀγνοημάτων. Καὶ καταξίωσον ἡμᾶς εὑρεῖν χάριν ἐνώπιόν σου, τοῦ γενέσθαι σοι εὐπρόσδεκτον τὴν θυσίαν ἡμῶν, καὶ ἐπισκηνῶσαι τὸ Πνεῦμα τῆς χάριτός σου τὸ ἀγαθόν ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα καὶ ἐπὶ πάντα τὸν λαόν σου.

**ΙΕΡΕΥΣ**

Διά τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ Παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**ΧΟΡΟΣ**

Ἀμήν.

**ΙΕΡΕΥΣ**

Εἰρήνη πᾶσι.

**ΧΟΡΟΣ**

Καὶ τῷ πνεύματί σου.

**ΔΙΑΚΟΝΟΣ**

Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν.

**ΧΟΡΟΣ**

Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

*(To You, O Lord.)*

**PRIEST** *(in a low voice)*

THE OFFERTORY PRAYER

Lord God Almighty, You alone are holy. You accept the sacrifice of praise from those who call upon You with their whole heart, even so, accept from us sinners our supplication, and bring it to Your holy Altar of sacrifice. Enable us to offer You gifts and spiritual sacrifices for our own sins and the failings of Your people. Deem us worthy to find grace in Your sight, that our sacrifice may be well pleasing to You, and that the good Spirit of Your grace may rest upon us and upon these gifts presented and upon all Your people.

**PRIEST**

Through the mercies of Your only begotten Son, with Whom You are blessed, together with Your all-holy, good, and life-creating Spirit, now and forever and to the ages of ages.

**CHOIR**

Amen.

**PRIEST**

Peace be with all.

**CHOIR**

And with your spirit.

**DEACON**

Let us love one another, that with oneness of mind we may confess:

**CHOIR**

Father, Son, and Holy Spirit: Trinity, one in essence and undivided. [GOA]

*Ἢ, ἐν συλλειτούργῳ, τὸ ἑξῆς·*

Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου. Κύριος στερέωμά μου καὶ καταφυγή μου καὶ ῥύστης μου.

*Or, for concelebrations:*

I will love You, O Lord, my strength. The Lord is my foundation, my refuge, my deliverer. [SAAS]

**ΔΙΑΚΟΝΟΣ**

Τὰς θύρας, τὰς θύρας. Ἐν σοφίᾳ πρόσχωμεν.

**DEACON**

The doors! The doors! In wisdom, let us be attentive!

**ΛΑΟΣ**

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, Παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο. Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος Ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα. Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα καὶ ταφέντα. Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ Κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. Εἰς μίαν, Ἁγίαν, Καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν

**PEOPLE**

THE SYMBOL OF OUR FAITH

I believe in one God, Father Almighty, Creator of heaven and earth, and of all things visible and invisible. And in one Lord Jesus Christ, the only-begotten Son of God, begotten of the Father before all ages; Light of Light, true God of true God, begotten, not created, of one essence with the Father through Whom all things were made. Who for us men and for our salvation came down from heaven and was incarnate of the Holy Spirit and the Virgin Mary and became man. He was crucified for us under Pontius Pilate, and suffered and was buried; And He rose on the third day, according to the Scriptures. He ascended into heaven and is seated at the right hand of the Father; And He will come again with glory to judge the living and dead. His kingdom shall have no end. And in the Holy Spirit, the Lord, the Creator of life, Who proceeds from the Father, Who together with the Father and the Son is worshipped and glorified, Who spoke through the prophets. In one, holy, catholic, and apostolic Church. I confess one baptism for the forgiveness of sins. I look for the resurrection of the dead, and the life of the age to come. Amen. [GOA]

νεκρῶν. Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

## Η ΑΓΙΑ ΑΝΑΦΟΡΑ

**ΔΙΑΚΟΝΟΣ**

Στῶμεν καλῶς, στῶμεν μετὰ φόβου, πρόσχωμεν, τὴν ἁγίαν ἀναφοράν, ἐν εἰρήνη προσφέρειν.

**ΧΟΡΟΣ**

Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως.

**ΙΕΡΕΥΣ**

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καί Πατρὸς καὶ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος εἴη μετὰ πάντων ὑμῶν.

**ΧΟΡΟΣ**

Καὶ μετά τοῦ πνεύματός σου.

**ΙΕΡΕΥΣ**

Ἄνω σχῶμεν τὰς καρδίας.

**ΧΟΡΟΣ**

Ἔχομεν πρὸς τὸν Κύριον.

**ΙΕΡΕΥΣ**

Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

**ΧΟΡΟΣ**

Ἄξιον καὶ δίκαιον.

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

Ἄξιον καὶ δίκαιον σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ αἰνεῖν, σοὶ εὐχαριστεῖν, σὲ προσκυνεῖν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου. Σὺ γὰρ εἶ Θεὸς ἀνέκφραστος, ἀπερινόητος, ἀόρατος, ἀκατάληπτος, ἀεὶ ὤν, ὡσαύτως ὤν, σὺ καὶ ὁ μονογενής σου Υἱός, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον. Σὺ ἐκ τοῦ μὴ ὄντος εἰς το εἶναι ἡμᾶς παρήγαγες, καὶ παραπεσόντας ἀνέστησας πάλιν καὶ οὐκ ἀπέστης πάντα ποιῶν, ἕως ἡμᾶς εἰς τὸν οὐρανὸν ἀνήγαγες, καὶ τὴν βασιλείαν σου, ἐχαρίσω τὴν μέλλουσαν. Ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦμέν σοι, καὶ τῷ μονογενεῖ σου Υἱῷ καὶ τῷ Πνεύματί σου τῷ Ἁγίῳ. Ὑπὲρ πάντων, ὧν ἴσμεν, καὶ ὧν οὐκ ἴσμεν, τῶν φανερῶν καὶ

## THE HOLY ANAPHORA

**DEACON**

Let us stand aright! Let us stand in awe! Let us be attentive, that we may present the Holy Offering in peace.

**CHOIR**

A mercy of peace, a sacrifice of praise.

**PRIEST**

The grace of our Lord Jesus Christ, and the love of God and Father, and the communion of the Holy Spirit, be with you all.

**CHOIR**

And with your spirit.

**PRIEST**

Let us lift up our hearts.

**CHOIR**

We lift them up to the Lord.

**PRIEST**

Let us give thanks to the Lord.

**CHOIR**

It is proper and right.

**PRIEST** *(in a low voice)*

It is proper and right to hymn You, to bless You, to praise You, to give thanks to You, and to worship You in every place of Your dominion. For You, O God, are ineffable, inconceivable, invisible, incomprehensible, existing forever, forever the same, You and Your only begotten Son and Your Holy Spirit. You brought us out of nothing into being, and when we had fallen away, You raised us up again. You left nothing undone until you had led us up to heaven and granted us Your Kingdom, which is to come. For all these things, we thank You and Your only begotten Son and Your Holy Spirit: for all things we know and do not know, for blessings manifest and hidden that have been bestowed

ἀφανῶν εὐεργεσιῶν, τῶν εἰς ἡμᾶς γεγενημένων. Εὐχαριστοῦμέν σοι καὶ ὑπέρ τῆς λειτουργίας ταύτης, ἥν ἐκ τῶν χειρῶν ἡμῶν δέξασθαι καταξίωσας, καίτοι σοι παρεστήκασι χιλιάδες Ἀρχαγγέλων καὶ μυριάδες Ἀγγέλων, τὰ Χερουβεὶμ καὶ τὰ Σεραφείμ, ἑξαπτέρυγα, πολυόμματα, μετάρσια, πτερωτά.

on us. We thank You also for this Liturgy, which You have deigned to receive from our hands, even though thousands of archangels and tens of thousands of angels stand around You, the Cherubim and Seraphim, six-winged, many eyed, soaring aloft upon their wings,

**ΙΕΡΕΥΣ**

Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα, καὶ λέγοντα·

**PRIEST**

Singing the triumphal hymn, exclaiming, proclaiming, and saying...

**ΧΟΡΟΣ**

Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαώθ· πλήρης, ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου. Ὡσαννά, ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Ὡσαννά, ὁ ἐν τοῖς ὑψίστοις.

**CHOIR**

Holy, holy, holy, Lord Sabaoth, heaven and earth are filled with Your glory. Hosanna in the highest. Blessed is He Who comes in the name of the Lord. Hosanna in the highest. [GOA]

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

Μετὰ τούτων καὶ ἡμεῖς τῶν μακαρίων δυνάμεων, Δέσποτα φιλάνθρωπε, βοῶμεν καὶ λέγομεν· Ἅγιος εἶ καὶ πανάγιος, σὺ καὶ ὁ μονογενής σου Υἱὸς καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον. Ἅγιος εἶ καὶ πανάγιος καὶ μεγαλοπρεπὴς ἡ δόξα σου. Ὃς τὸν κόσμον σου οὕτως ἠγάπησας, ὥστε τὸν Υἱόν σου τὸν μονογενῆ δοῦναι, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Ὃς ἐλθὼν καὶ πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρώσας, τῇ νυκτί, ᾗ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν παρεδίδου ὑπέρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐν ταῖς ἁγίαις αὐτοῦ καὶ ἀχράντοις καὶ ἀμωμήτοις χερσίν, εὐχαριστήσας καὶ εὐλογήσας, ἁγιάσας, κλάσας, ἔδωκε τοῖς ἁγίοις αὐτοῦ Μαθηταῖς καὶ Ἀποστόλοις, εἰπών·

**PRIEST** *(in a low voice)*

Together with these blessed powers, Master, Who loves mankind, we also exclaim and say: Holy are You and most holy, You and Your onlybegotten Son and Your Holy Spirit. Holy are You and most holy, and sublime is Your glory. You so loved Your world that You gave Your only begotten Son so that everyone who believes in Him should not perish, but have eternal life. When He had come and fulfilled for our sake the entire plan of salvation, on the night in which He was delivered up, or rather when He delivered Himself up for the life of the world, He took bread in His holy, pure, and blameless hands, and, giving thanks and blessing, He hallowed and broke it, and gave it to His holy disciples and apostles, saying:

**ΙΕΡΕΥΣ**

Λάβετε, φάγετε, τοῦτό μού ἐστι τὸ Σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

**PRIEST**

Take, eat, this is My Body, which is broken for you for the remission of sins.

**ΧΟΡΟΣ**

Ἀμήν.

**CHOIR**

Amen.

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

Ὁμοίως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων·

**PRIEST** *(in a low voice)*

Likewise, after partaking of the supper, He took the cup, saying,

**ΙΕΡΕΥΣ**

Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ Αἷμά μου, το τῆς Καινῆς Διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

**PRIEST**

Drink of this, all of you; this is My Blood of the new covenant, which is shed for you and for many for the remission of sins.

**ΧΟΡΟΣ**

Ἀμήν.

**CHOIR**

Amen.

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

Μεμνημένοι τοίνυν τῆς σωτηρίου ταύτης ἐντολῆς, καὶ πάντων τῶν ὑπὲρ ἡμῶν γεγενημένων, τοῦ σταυροῦ, τοῦ τάφου, τῆς τριημέρου ἀναστάσεως, τῆς εἰς οὐρανούς ἀναβάσεως, τῆς ἐκ δεξιῶν καθέδρας, τῆς δευτέρας καὶ ἐνδόξου πάλιν παρουσίας,

**PRIEST** *(in a low voice)*

Remembering, therefore, this saving commandment and all that has been done for our sake: the Cross, the tomb, the Resurrection on the third day, the Ascension into heaven, the enthronement at the right hand, and the second and glorious coming again.

**ΙΕΡΕΥΣ**

Τὰ Σὰ ἐκ τῶν Σῶν, σοὶ προσφέρομεν κατὰ πάντα, καὶ διὰ πάντα.

**PRIEST**

Your own of Your own we offer to You, in all and for all.

**ΧΟΡΟΣ**

Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν, Κύριε, καὶ δεόμεθά σου, ὁ Θεὸς ἡμῶν.

**CHOIR**

We praise You, we bless You, we give thanks to You, and we pray to You, Lord our God. [GOA]

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον λατρείαν, καὶ παρακαλοῦμέν σε καὶ δεόμεθα, καὶ ἱκετεύομεν. Κατάπεμψον τὸ Πνεῦμά σου τὸ Ἅγιον ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα.

Καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον, τίμιον Σῶμα τοῦ Χριστοῦ σου.

*(Ἀμήν.)*

Τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ, τίμιον Αἷμα τοῦ Χριστοῦ σου.

*(Ἀμήν.)*

Μεταβαλὼν τῷ Πνεύματί σου τῷ Ἁγίῳ.

*(Ἀμήν. Ἀμήν. Ἀμήν.)*

Ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν εἰς νῆψιν ψυχῆς, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ Ἁγίου σου Πνεύματος, εἰς Βασιλίας οὐρανῶν

**PRIEST** *(in a low voice)*

Once again we offer to You this spiritual worship without the shedding of blood, and we beseech and pray and entreat You: Send down Your Holy Spirit upon us and upon the gifts here presented,

And make this Bread the precious Body of Your Christ.

*(Amen.)*

And that which is in this Cup, the precious Blood of Your Christ.

*(Amen.)*

Changing them by Your Holy Spirit.

*(Amen. Amen. Amen.)*

So that they may be for those who partake of them for vigilance of soul, remission of sins, communion of Your Holy Spirit, fullness of the Kingdom of

πλήρωμα, εἰς παῤῥησίαν τὴν πρὸς σέ, μὴ εἰς κρῖμα ἢ εἰς κατάκριμα. Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῶν ἐν πίστει ἀναπαυσαμένων Προπατόρων, Πατέρων, Πατριαρχῶν, Προφητῶν, Ἀποστόλων, Κηρύκων, Εὐαγγελιστῶν, Μαρτύρων, Ὁμολογητῶν, Ἐγκρατευτῶν, Διδασκάλων, καὶ παντὸς πνεύματος δικαίου ἐν πίστει τετελειωμένου.

Heaven, boldness before You, not for judgment or condemnation. Again, we offer You this spiritual worship for those who have reposed in the faith: forefathers, fathers, patriarchs, prophets, apostles, preachers, evangelists, martyrs, confessors, ascetics, and for every righteous spirit made perfect in faith,

**ΙΕΡΕΥΣ**

Ἐξαιρέτως τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

**PRIEST**

Especially for our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary.

**ΧΟΡΟΣ**

**Ὕμνος εἰς τὴν Θεοτόκον.**

Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

**CHOIR**

**Hymn to the Theotokos.**

It is truly right to bless you, Theotokos, ever blessed, most pure, and Mother of our God. More honorable than the Cherubim, and beyond compare more glorious than the Seraphim, without corruption you gave birth to God the Logos. We magnify you, the true Theotokos. [GOA]

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

Τοῦ Ἁγίου Ἰωάννου, προφήτου προδρόμου καὶ Βαπτιστοῦ, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, (του ἁγίου τῆς ἡμέρας) οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν Ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός. Καὶ μνήσθητι πάντων τῶν κεκοιμημένων, ἐπ' ἐλπίδι ἀναστάσεως, ζωῆς αἰωνίου [ὧδε λέγονται τὰ ὀνόματα τῶν κεκοιμημένων] καὶ ἀνάπαυσον αὐτούς, ὁ Θεὸς ἡμῶν, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Ἔτι παρακαλοῦμέν σε, μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς ὀρθοδόξων, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας, παντός τοῦ πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας καὶ παντὸς ἱερατικοῦ καὶ μοναχικοῦ τάγματος. Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπέρ τῆς οἰκουμένης, ὑπέρ τῆς ἁγίας σου Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας, ὑπέρ τῶν ἐν ἁγνείᾳ καὶ σεμνῇ πολιτείᾳ διαγόντων· ὑπέρ τῶν ἀρχόντων καὶ τοῦ στρατοῦ ἡμῶν. Δὸς αὐτοῖς, Κύριε, εἰρηνικὸν τὸ Βασίλειον, ἵνα

**PRIEST** *(in a low voice)*

For Saint John the prophet, forerunner, and Baptist; for the holy, glorious, and most praiseworthy apostles; for Saint(s) (Name), whose memory we celebrate; and for all Your saints, through whose supplications, visit us, O God. And remember all who have fallen asleep in the hope of the resurrection to life eternal (here the Priest commemorates by name those departed whom he wishes). Grant them rest, O our God, where the light of Your countenance keeps watch. Again we beseech You, Lord, remember all Orthodox bishops who rightly teach the word of Your truth, the presbyterate, the diaconate in Christ, and every priestly and monastic order. Again we offer You this spiritual worship for the whole world, for the holy, catholic, and apostolic Church, and for those living pure and reverent lives. For civil authorities and our armed forces, grant that they may govern in peace, Lord, so that in their tranquility we, too, may live calm and serene lives, in all piety and virtue.

καὶ ἡμεῖς, ἐν τῇ γαλήνῃ αὐτῶν, ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν, ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.

**ΙΕΡΕΥΣ**

Ἐν πρώτοις, μνήσθητι, Κύριε, τοῦ (ἀρχιερατικοῦ βαθμοῦ) ἡμῶν (τοῦ δεῖνος). ὃν χάρισαι ταῖς ἁγίαις σου Ἐκκλησίαις ἐν εἰρήνῃ, σῷον, ἔντιμον, ὑγιᾶ, μακροημερεύοντα, καὶ ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.

**PRIEST**

Among the first remember, Lord, (episcopal rank) (name). grant him to Your holy churches in peace, safety, honor, and health, unto length of days, rightly teaching the word of Your truth.

**ΔΙΑΚΟΝΟΣ**

Καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει, καὶ πάντων καὶ πασῶν.

**DEACON**

And remember those whom each one of us has in mind, and all the people.

**ΧΟΡΟΣ**

Καὶ πάντων καὶ πασῶν.

**CHOIR**

And all the people.

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

Μνήσθητι, Κύριε, τῆς πόλεως ταύτης, ἐν ᾗ παροικοῦμεν καὶ πάσης πόλεως καὶ χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς. Μνήσθητι, Κύριε, πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου Ἐκκλησίαις καὶ μεμνημένων τῶν πενήτων, καὶ ἐπὶ πάντας ἡμᾶς τὰ ἐλέη σου ἐξαπόστειλον.

**PRIEST** *(in a low voice)*

Remember, Lord, this city in which we live, and every city and land, and the faithful who live in them. Remember, Lord, those who travel by land, sea, and air; the sick; the suffering; the captives; and their salvation. Remember those who bear fruit and do good works in Your holy churches and those who are mindful of the poor, and upon us all send forth Your mercies.

**ΙΕΡΕΥΣ**

Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ, δοξάζειν καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**PRIEST**

And grant that with one voice and one heart we may glorify and praise Your most honorable and majestic name, of the Father and of the Son and of the Holy Spirit, now and forever and to the ages of ages.

**ΧΟΡΟΣ**

Ἀμήν.

**CHOIR**

Amen.

**ΙΕΡΕΥΣ**

Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ πάντων ὑμῶν.

**PRIEST**

And the mercies of our great God and Savior, Jesus Christ, be with you all.

**ΧΟΡΟΣ**

Καὶ μετὰ τοῦ πνεύματός σου.

**CHOIR**

And with your spirit.

**ΔΙΑΚΟΝΟΣ**

Πάντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

**ΧΟΡΟΣ**

*(Κύριε, ἐλέησον.)*

Ὑπέρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμίων δώρων, τοῦ Κυρίου δεηθῶμεν.

*(Κύριε, ἐλέησον.)*

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερὸν αὐτοῦ θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν Χάριν καὶ τὴν δωρεὰν τοῦ Ἁγίου Πνεύματος δεηθῶμεν.

*(Κύριε, ἐλέησον.)*

*(Αἱ δεήσεις αὗται οὐχ ὑπῆρχον ἐξ ἀρχῆς εἰς τὸ σημεῖον τοῦτο· παρεισήχθησαν δὲ πιθανώτατα κατ' ἐπίδρασιν τῆς Θ. Λειτουργίας τῶν Προηγιασμένων.)*

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

*(Κύριε, ἐλέησον.)*

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

*(Κύριε, ἐλέησον.)*

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

*(Παράσχου, Κύριε.)*

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

*(Παράσχου, Κύριε.)*

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

**DEACON**

Having commemorated all the saints, again and again, in peace, let us pray to the Lord.

**CHOIR**

*(Lord, have mercy.)*

For the precious Gifts here presented and consecrated, let us pray to the Lord.

*(Lord, have mercy.)*

That our God Who loves mankind, having accepted them at His holy and celestial and mystical altar as an offering of spiritual fragrance, may in return send down upon us the divine grace and the gift of the Holy Spirit, let us pray.

*(Lord, have mercy.)*

*(These petitions were not originally included. They were most probably added owing to the influence of the Liturgy of the Presanctified Gifts.)*

For our deliverance from all affliction, wrath, danger, and necessity, let us pray to the Lord.

*(Lord, have mercy.)*

Help us, save us, have mercy on us, and protect us, O God, by Your grace.

*(Lord, have mercy.)*

That the whole day may be perfect, holy, peaceful, and sinless, let us ask the Lord.

*(Grant this, O Lord.)*

For an angel of peace, a faithful guide, a guardian of our souls and bodies, let us ask the Lord.

*(Grant this, O Lord.)*

For pardon and remission of our sins and transgressions, let us ask the Lord.

*(Παράσχου, Κύριε.)*

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

*(Παράσχου, Κύριε.)*

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

*(Παράσχου, Κύριε.)*

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

*(Παράσχου, Κύριε.)*

Τὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ Ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*(Σοί, Κύριε.)*

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

Σοὶ παρακατατιθέμεθα τὴν ζωὴν ἡμῶν ἅπασαν καὶ τὴν ἐλπίδα, Δέσποτα φιλάνθρωπε, καὶ παρακαλοῦμέν σε καὶ δεόμεθα καὶ ἱκετεύομεν, καταξίωσον ἡμᾶς μεταλαβεῖν τῶν ἐπουρανίων σου καὶ φρικτῶν μυστηρίων ταύτης τῆς ἱερᾶς καὶ πνευματικῆς τραπέζης, μετὰ καθαροῦ συνειδότος, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς συγχώρησιν πλημμελημάτων, εἰς Πνεύματος Ἁγίου κοινωνίαν, εἰς Βασιλείας οὐρανῶν κληρονομίαν, εἰς παῤῥησίαν τὴν πρὸς σέ, μὴ εἰς κρῖμα ἢ εἰς κατάκριμα.

**ΙΕΡΕΥΣ**

Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παῤῥησίας, ἀκατακρίτως, τολμᾶν ἐπικαλεῖσθαι σὲ τὸν ἐπουράνιον Θεὸν Πατέρα, καὶ λέγειν·

**ΛΑΟΣ**

## ΚΥΡΙΑΚΗ ΠΡΟΣΕΥΧΗ

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου. Ἐλθέτω ἡ

*(Grant this, O Lord.)*

For that which is good and beneficial for our souls, and for peace for the world, let us ask the Lord.

*(Grant this, O Lord.)*

That we may complete the remaining time of our life in peace and repentance, let us ask the Lord.

*(Grant this, O Lord.)*

And let us ask for a Christian end to our life, peaceful, without shame and suffering, and for a good defense before the awesome judgment seat of Christ.

*(Grant this, O Lord.)*

Having asked for the unity of the faith and for the communion of the Holy Spirit, let us commend ourselves and one another and our whole life to Christ our God.

*(To You, O Lord.)*

**PRIEST** *(in a low voice)*

We entrust to You, loving Master, our whole life and hope, and we beseech, pray, and implore You: Grant us to partake of Your heavenly and awesome Mysteries from this sacred and spiritual table with a clear conscience for the remission of sins, the forgiveness of transgressions, the communion of the Holy Spirit, the inheritance of the Kingdom of Heaven, and boldness before You, not unto judgment or condemnation.

**PRIEST**

And grant us, Master, with boldness and without condemnation, to dare call You, the heavenly God, Father, and to say:

**PEOPLE**

## THE LORD'S PRAYER

Our Father, who art in heaven, hallowed be Thy name. Thy kingdom come, Thy will

βασιλεία σου. Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

be done, on earth as it is in heaven. Give us this day our daily bread; and forgive us our trespasses, as we forgive those who trespass against us. And lead us not into temptation, but deliver us from evil. [GOA]

**ΙΕΡΕΥΣ**

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*(Ἀμήν.)*

**PRIEST**

For Thine is the Kingdom and the power and the glory, of the Father and of the Son and of the Holy Spirit, now and forever and to the ages of ages.

*(Amen.)*

**ΙΕΡΕΥΣ**

Εἰρήνη πᾶσι.

*(Καὶ τῷ πνεύματί σου.)*

**PRIEST**

Peace be with all.

*(And with your spirit.)*

**ΔΙΑΚΟΝΟΣ**

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνομεν.

*(Σοί, Κύριε.)*

**DEACON**

Let us bow our heads to the Lord.

*(To You, O Lord.)*

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

Εὐχαριστοῦμέν σοι, Βασιλεῦ ἀόρατε, ὁ τῇ ἀμετρήτῳ σου δυνάμει τὰ πάντα δημιούργησας καὶ τῷ πλήθει τοῦ ἐλέους σου ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι τὰ πάντα παραγαγών· Αὐτὸς Δέσποτα, οὐρανόθεν ἔπιδε ἐπί τοὺς ὑποκεκλικότας τὰς ἑαυτῶν κεφαλάς. Οὐ γὰρ ἔκλιναν σαρκὶ καὶ αἵματι, ἀλλὰ σοί, τῷ φοβερῷ Θεῷ. Σὺ οὖν, Δέσποτα, τὰ προκείμενα πᾶσιν ἡμῖν εἰς ἀγαθὸν ἐξομάλισον, κατὰ τὴν ἑκάστου ἰδίαν χρείαν, τοῖς πλέουσι σύμπλευσον, τοῖς ὁδοιποροῦσι συνόδευσον, τοὺς νοσοῦντας ἴασαι, ὁ ἰατρός τῶν ψυχῶν καί τῶν σωμάτων ἡμῶν.

**PRIEST** *(in a low voice)*

We give thanks to You, invisible King, Who by Your boundless power fashioned the universe, and in the multitude of Your mercy brought all things from nothing into being. Look down from heaven, O Master, upon those who have bowed their heads before You, for they have not bowed before flesh and blood, but before You, the awesome God. Therefore, O Master, make smooth and beneficial for us all, whatever lies ahead, according to the need of each: Sail with those who sail, travel with those who travel, heal the sick, Physician of our souls and bodies.

**ΙΕΡΕΥΣ**

Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἰ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*(Ἀμήν.)*

**PRIEST**

Through the grace, compassion, and love for mankind of Your only begotten Son, with whom You are blessed, together with Your all-holy, good, and life-creating Spirit, now and forever and to the ages of ages.

*(Amen.)*

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

Πρόσχες, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης τῆς Βασιλείας σου, καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ Πατρὶ συγκαθήμενος καὶ ὧδε ἡμῖν ἀοράτως συνών. Καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου Σώματός σου καί τοῦ τιμίου Αἵματος καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ.

**ΔΙΑΚΟΝΟΣ**

Πρόσχωμεν.

**ΙΕΡΕΥΣ**

Τα Ἅγια τοῖς Ἁγίοις.

**ΧΟΡΟΣ**

Εἷς ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

**ΛΑΟΣ**

ΕΥΧΑΙ ΠΡΟ ΤΗΣ ΘΕΙΑΣ ΚΟΙΝΩΝΙΑΣ

Πιστεύω, Κύριε, καὶ ὁμολογῶ, ὅτι σὺ εἶ ἀληθῶς ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ ἐλθὼν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. Ἔτι πιστεύω, ὅτι τοῦτο αὐτό ἐστι τὸ ἄχραντον Σῶμά σου καὶ τοῦτο αὐτό ἐστι τὸ τίμιον Αἷμά σου. Δέομαι οὖν σου· ἐλέησόν με καὶ συγχώρησόν μοι τὰ παραπτώματά μου, τὰ ἑκούσια καὶ τὰ ἀκούσια, τὰ ἐν λόγῳ, τὰ ἐν ἔργῳ, τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ· καὶ ἀξίωσόν με ἀκατακρίτως μετασχεῖν τῶν ἀχράντων σου μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον. Ἀμήν.

Ἰδού, βαδίζω πρὸς θείαν Κοινωνίαν· Πλαστουργέ, μὴ φλέξῃς με τῇ μετουσίᾳ· Πῦρ γὰρ ὑπάρχεις τοὺς ἀναξίους φλέγον. Ἀλλ' οὖν κάθαρον ἐκ πάσης με κηλῖδος.

Τοῦ Δείπνου σου τοῦ μυστικοῦ, σήμερον Υἱὲ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μὴ

## THE HOLY COMMUNION

**PRIEST** *(in a low voice)*

Hearken, O Lord Jesus Christ our God, from Your holy dwelling place and from the throne of glory of Your Kingdom, and come to sanctify us, You Who are enthroned with the Father on high and are present among us invisibly here. And with Your mighty hand, grant Communion of Your most pure Body and precious Blood to us, and through us to all the people.

**DEACON**

Let us be attentive.

**PRIEST**

The Holy Gifts for the holy people of God.

**CHOIR**

One is Holy, one is Lord, Jesus Christ, to the glory of God the Father. Amen. [GOA]

**PEOPLE**

PRAYERS OF HOLY COMMUNION

I believe and confess, Lord, that You are truly the Christ, the Son of the living God, Who came into the world to save sinners, of whom I am the first. I also believe that this is truly Your pure Body and that this is truly Your precious Blood. Therefore, I pray to You, have mercy upon me, and forgive my transgressions, voluntary and involuntary, in word and deed, in knowledge or in ignorance. And make me worthy, without condemnation, to partake of Your pure Mysteries for the remission of sins and for eternal life. Amen.

Behold, I approach for Divine Communion. * O Maker, burn me not as I partake, * for You are fire consuming the unworthy. * But cleanse me from every stain.

O Son of God, receive me today as a partaker of Your mystical supper. For I will

γὰρ τοῖς ἐχθροῖς σου τὸ Μυστήριον εἴπω, οὐ φίλημά σοι δώσω, καθάπερ ὁ Ἰούδας, ἀλλ' ὡς ὁ Ληστὴς ὁμολογῶ σοι. Μνήσθητί μου Κύριε, [ὅταν ἔλθῃς] ἐν τῇ Βασιλείᾳ σου.

not speak of the mystery to Your enemies, nor will I give You a kiss, as did Judas. But like the thief, I confess to You: Remember me, Lord, in Your Kingdom.

Θεουργὸν Αἷμα φρῖξον, ἄνθρωπε βλέπων· Ἄνθραξ γάρ ἐστι τοὺς ἀναξίους φλέγων· Θεοῦ τὸ Σῶμα, καὶ θεοῖ με, καὶ τρέφει· Θεοῖ τὸ πνεῦμα, τὸν δὲ νοῦν τρέφει ξένως.

Tremble, O man, as you behold the divine Blood. It is a burning coal that sears the unworthy. The Body of God both deifies and nourishes me: It deifies the spirit and wondrously nourishes the mind.

Ἔθελξας πόθῳ με Χριστέ, καὶ ἠλλοίωσας τῷ θείῳ σου ἔρωτι, ἀλλὰ κατάφλεξον, πυρὶ ἀΰλω τὰς ἁμαρτίας μου, καὶ εμπλησθῆναι τῆς ἐν σοὶ τρυφῆς καταξίωσον, ἵνα τὰς δύο σκιρτῶν, μεγαλύνω ἀγαθὲ παρουσίας σου.

You have smitten me with yearning, O Christ, and by Your divine eros You have changed me. But burn up with spiritual fire my sins, and grant me to be filled with delight in You, so that, leaping for joy, I may magnify, O Good One, Your two comings.

Ἐν ταῖς λαμπρότησι τῶν Ἁγίων σου, πῶς εἰσελεύσομαι ὁ ἀνάξιος; ἐὰν γὰρ τολμήσω συνεισελθεῖν εἰς τὸν νυμφῶνα, ὁ χιτών μὲ ἐλέγχει, ὅτι οὐκ ἔστι τοῦ γάμου, καὶ δέσμιος ἐκβαλοῦμαι ὑπὸ τῶν Ἀγγέλων. Καθάρισον, Κύριε, τὸν ῥύπον τῆς ψυχῆς μου, καὶ σῶσόν με ὡς φιλάνθρωπος.

How shall I, who am unworthy, enter into the splendor of Your saints? If I should dare to enter into the bridal chamber, my vesture will condemn me, since it is not a wedding garment; and being bound up, I shall be cast out by the angels. Cleanse, O Lord, the filth of my soul, and save me, as You are the one Who loves mankind.

Δέσποτα φιλάνθρωπε, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός μου, μὴ εἰς κρῖμά μοι γένοιτο τὰ ἅγια ταῦτα, διὰ τὸ ἀνάξιον εἶναί με, ἀλλ' εἰς κάθαρσιν καὶ ἁγιασμὸν ψυχῆς τε καὶ σώματος, καὶ εἰς ἀῤῥαβῶνα τῆς μελλούσης ζωῆς καὶ βασιλείας. Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστι, τίθεσθαι ἐν τῷ Κυρίῳ τὴν ἐλπίδα τῆς σωτηρίας μου.

Master Who loves mankind, Lord Jesus Christ, my God, let not these Holy Gifts be to my judgment because I am unworthy, but rather for the purification and sanctification of both soul and body and the pledge of the life and Kingdom to come. It is good for me to cleave unto God and to place in Him the hope of my salvation.

Τοῦ Δείπνου σου τοῦ μυστικοῦ, σήμερον Υἱὲ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ Μυστήριον εἴπω, οὐ φίλημά σοι δώσω, καθάπερ ὁ Ἰούδας, ἀλλ'

O Son of God, receive me today as a partaker of Your mystical supper. For I will not speak of the mystery to Your enemies, nor will I give You a kiss, as did Judas. But

ὡς ὁ Ληστὴς ὁμολογῶ σοι. Μνήσθητί μου Κύριε, [ὅταν ἔλθῃς] ἐν τῇ Βασιλείᾳ σου.

like the thief, I confess to You: Remember me, Lord, in Your Kingdom.

**ΧΟΡΟΣ**

**Κοινωνικόν. Ψαλμὸς 103.**

Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Ἀλληλούϊα.

**CHOIR**

**Communion Hymn. Psalm 103.**

He makes His angels spirits and His ministers a flame of fire. Alleluia. [SAAS]

**ΔΙΑΚΟΝΟΣ**

Μετὰ φόβου Θεοῦ, πίστεως καὶ ἀγάπης προσέλθετε.

*Καὶ γίνεται ἡ μετάληψις τοῦ Λαοῦ. Λαμβάνει ὁ Ἱερεὺς ἀπὸ τῶν τοῦ Διακόνου χειρῶν τὸ ἅγιον Ποτήριον καὶ μεταδίδωσιν αὐτοῖς λέγων·*

Μεταλαμβάνει ὁ δοῦλος τοῦ Θεοῦ (Ὄνομα) Σῶμα καὶ Αἷμα Χριστοῦ, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν αἰώνιον. Ἀμήν.

**DEACON**

With the fear of God, faith, and love, draw near.

*And the people receive Holy Communion. The Priest receives the holy Chalice from the hands of the Deacon and begins communing the people, saying to each one:*

The servant of God (Name) partakes of the Body and Blood of Christ for the remission of sins and life eternal.

**ΧΟΡΟΣ**

Ὕμνοι καθῶς μεταλαμβάνει ὁ λαός.

**ΙΕΡΕΥΣ**

Σῶσον, ὁ Θεός, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

**CHOIR**

Hymns During Holy Communion

**PRIEST**

Save, O God, Your people, and bless Your inheritance.

**ΧΟΡΟΣ**

**Ὕμνος μετὰ τὴν Θ. Κοινωνίαν.**
**Ἦχος β′.**

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες· αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

**CHOIR**

**Hymn after Holy Communion.**
**Mode 2.**

We have seen the true light; we have received the heavenly Spirit; we have found the true faith, worshiping the undivided Trinity, for the Trinity has saved us. [GOA]

**ΙΕΡΕΥΣ**

*(χαμηλοφώνως)*

Ἀπόπλυνον, Κύριε, τὰ ἁμαρτήματα τῶν ἐνθάδε μνημονευθέντων δούλων σου τῷ Αἵματί σου τῷ ἁγίῳ· πρεσβείαις τῆς Θεοτόκου καὶ πάντων σου τῶν Ἁγίων. Ἀμήν.

**PRIEST**

*(in a low voice)*

Wash away, Lord, by Your Holy Blood, the sins of Your servants here remembered through the intercessions of the Theotokos and all Your saints. Amen.

**ΔΙΑΚΟΝΟΣ**

Ὕψωσον, Δέσποτα.

**DEACON**

Exalt, Master.

**ΙΕΡΕΥΣ**

Ὑψώθητι ἐπί τοὺς οὐρανοὺς ὁ Θεὸς καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν.

**ΙΕΡΕΥΣ**

Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**ΧΟΡΟΣ**

Ἀμήν.

Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεως Κύριε, ὅπως ἀνυμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς τῶν ἁγίων σου μετασχεῖν μυστηρίων· τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετῶντας τὴν δικαιοσύνην σου. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

**ΔΙΑΚΟΝΟΣ**

Ὀρθοί, μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων καὶ ζωοποιῶν, φρικτῶν τοῦ Χριστοῦ μυστηρίων, ἀξίως εὐχαριστήσωμεν τῷ Κυρίῳ.

**ΧΟΡΟΣ**

*(Δόξα σοι, Κύριε, δόξα σοι.)*

*ἤ·*

*(Κύριε, ἐλέησον.)*

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

*(Κύριε, ἐλέησον.)*

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*(Σοί, Κύριε.)*

**PRIEST**

Be exalted, O God, above the heavens, and let Your glory be over all the earth.

Blessed is our God.

**PRIEST**

Always, now and forever and to the ages of ages.

**CHOIR**

Amen.

Let our mouths be filled with Your praise, O Lord, that we may sing of Your glory, because You have made us worthy to partake of Your Holy Mysteries. Keep us in Your sanctification, that all day long we may meditate upon Your righteousness. Alleluia. Alleluia. Alleluia. [GOA]

**DEACON**

Arise! Having partaken of the divine, holy, pure, immortal, heavenly, life-creating, and awesome Mysteries of Christ, let us worthily give thanks to the Lord.

**CHOIR**

*(Glory to You, O Lord, glory to You.)*

*or:*

*(Lord, have mercy.)*

Help us, save us, have mercy on us, and protect us, O God, by Your grace.

*(Lord, have mercy.)*

Having prayed for a perfect, holy, peaceful, and sinless day, let us commend ourselves and one another and our whole life to Christ our God.

*(To You, O Lord.)*

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

Η ΕΥΧΑΡΙΣΤΗΡΙΟΣ ΕΥΧΗ

Εὐχαριστοῦμέν σοι, Δέσποτα φιλάνθρωπε, εὐεργέτα τῶν ψυχῶν ἡμῶν, ὅτι καὶ τῇ παρούσῃ ἡμέρᾳ κατηξίωσας ἡμᾶς τῶν ἐπουρανίων σου καὶ ἀθανάτων μυστηρίων. Ὀρθοτόμησον ἡμῶν τὴν ὁδόν, στήριξον πάντας ἡμᾶς ἐν τῷ φόβῳ σου, φρούρησον ἡμῶν τὴν ζωήν, ἀσφάλισαι ἡμῶν τὰ διαβήματα, εὐχαῖς καὶ ἱκεσίαις τῆς ἐνδόξου Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν ἁγίων σου.

**PRIEST** *(in a low voice)*

THE THANKSGIVING PRAYER

We give thanks to You, Master Who loves mankind, benefactor of our souls, that even on this very day You have made us worthy of Your heavenly and immortal Mysteries. Make straight our path, fortify us in Your fear, guard our life, make secure our steps, through the prayers and supplications of the glorious Theotokos and ever virgin Mary and of all Your saints.

**ΙΕΡΕΥΣ**

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*(Ἀμήν.)*

**PRIEST**

For You are our sanctification, and to You we give glory, to the Father and to the Son and to the Holy Spirit, now and forever and to the ages of ages.

*(Amen.)*

**ΙΕΡΕΥΣ**

Ἐν εἰρήνῃ προέλθωμεν.

**PRIEST**

Let us go forth in peace.

**ΔΙΑΚΟΝΟΣ**

Τοῦ Κυρίου δεηθῶμεν.

*(Κύριε, ἐλέησον.)*

**DEACON**

Let us pray to the Lord.

*(Lord, have mercy.)*

**ΙΕΡΕΥΣ**

ΕΥΧΗ ΟΠΙΣΘΑΜΒΩΝΟΣ

Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου. Τὸ πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον, ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου. Σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ. Εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς Ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς ἄρχουσιν ἡμῶν, τῷ στρατῷ καὶ παντὶ τῷ λαῷ σου. Ὅτι πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἐκ σοῦ τοῦ Πατρός τῶν φώτων, καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ

**PRIEST**

THE PRAYER BEHIND THE AMBON

O Lord, Who blesses those who bless You and sanctifies those who put their trust in You, save Your people and bless Your inheritance. Protect the whole body of Your Church. Sanctify those who love the beauty of Your house. Glorify them in return by Your divine power, and forsake us not who have set our hope in You. Grant peace to Your world, to Your churches, to the clergy, to our civic leaders, to the armed forces, and to all Your people. For every good and perfect gift is from above, coming down from You, the Father of lights. To You we give glory, thanksgiving, and worship, to the Father and to the Son and to the Holy Spirit, now and forever and to the ages of ages.

Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*(Ἀμήν.)*

*(Amen.)*

**ΧΟΡΟΣ**

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (ἐκ γʹ)

**CHOIR**

Blessed be the name of the Lord, from this time forth and to the ages. (3) [GOA]

**ΙΕΡΕΥΣ** *(χαμηλοφώνως)*

Τὸ πλήρωμα τοῦ Νόμου καί τῶν Προφητῶν, αὐτὸς ὑπάρχων, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πληρώσας πᾶσαν τὴν πατρικὴν οἰκονομίαν, πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**PRIEST** *(in a low voice)*

Christ our God, You are the fulfillment of the Law and the Prophets. You have fulfilled the Father's entire plan of salvation. Fill our hearts with joy and gladness always, now and forever and to the ages of ages. Amen.

**ΔΙΑΚΟΝΟΣ**

Τοῦ Κυρίου δεηθῶμεν.

*(Κύριε, ἐλέησον.)*

**DEACON**

Let us pray to the Lord.

*(Lord, have mercy.)*

**ΙΕΡΕΥΣ**

Εὐλογία Κυρίου καὶ ἔλεος αὐτοῦ ἔλθοι ἐφ' ὑμᾶς, τῇ αὐτοῦ θεία χάριτι καὶ φιλανθρωπία πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*(Ἀμήν.)*

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

**PRIEST**

May the blessing and the mercy of the Lord come upon you by His divine grace and love for mankind, always, now and forever and to the ages of ages.

*(Amen.)*

Glory to You, our God. Glory to You.

**ΙΕΡΕΥΣ**

Ὁ ἀναστὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων Ἀσωμάτων, ὧν καὶ τὴν σύναξιν ἑορτάζομεν· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου, Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν· (τοῦ Ἁγίου τοῦ Ναοῦ)· τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

**PRIEST**

May He Who rose from the dead, Christ our true God, through the intercessions of His all-pure and all-immaculate holy Mother, the power of the precious and life-giving Cross, the protection of the honorable, bodiless powers of heaven, whose Synaxis we celebrate; the supplications of the honorable, glorious prophet and forerunner John the Baptist, of the holy, glorious, and praiseworthy apostles, of the holy, glorious, and triumphant martyrs, of our righteous and God-bearing fathers, (local patron saint); of the holy and righteous ancestors of God Joachim and Anna, and of all the saints, have mercy on us and save us, for He is good and loves mankind.

**ΧΟΡΟΣ**

Τὸν εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς, Κύριε, φύλαττε εἰς πολλὰ ἔτη.

**ΙΕΡΕΥΣ**

Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

*(Ἀμήν.)*

**CHOIR**

Lord, protect for many years the one who blesses and sanctifies us. [GOA]

**PRIEST**

Through the prayers of our holy fathers, Lord Jesus Christ, our God, have mercy on us [and save us].

*(Amen.)*